Apud Rossium sicut apud Le Basium versus a primo ad ultimum uno tenore numerati sunt; quod apud hunc vss. 1—17, 18—33 litteris *A* et *B* divisi sunt, sumo inde lapidem tum quidem in duo fragmenta rescissum esse; sed cum interim vs. nullus perierit, huius divisionis rationem non habui. Ad sinistram pauca desunt; nam vs. 12 et 18 quae initio supplevi sententiam redintegrant. Ad dextram plura sed non ita multa desiderari liquet e vss. 1—10, qui facile supplentur. Le Basii lectiones: vs. 3 post tertium Δ, Ν || 5 in. ΝΟΣΙΩΙ || 6 extr. ΤΥΓΟΙ ΓΛΕΙΝ(ΓΑΣΙΝ apogr.) ....ΙΟΛΙΝ...Ν || 8 ΟΛΚΝΗΕΝΙΙ.. ...Ο...ΙΩΝΧΡΥΣΩΝ...ΑΝΛΙ...Λ..ΙΛΙ || 9 ΓΙΤΑΝΙΔΙΩΝ; extr. ΙΝΙΔΙΟΥ.ΛΛΛΙΛ.ΝΤΗ....ΙΛ || 10 extr. ΚΝΟ.ΑΥ; ΚΟ ΝΑΥ apogr. || 12 med. ΔΗΜΟΣΙΩΝΤΟ..ΙΧ...ΕΞ; extr. ΑΡΙΛΛ || 13 extr. ΔΗΜΛ...ΣΕΥ.ΗΛ || 14 ΤΟΥ..ΙΝ....Ι || 15 in. ΘΗΜΧΣΥ; extr. ΣΙΜΗΔΟΥΣΤΟ || 16 med. Ω.ΕΙΛΕΙ; extr. Σ·ΣΔΔΔΓ || 18 med. ΤΕΙΜΩΝ; ΤΕ..Ω Ν apogr.; dubitanter in Τε[λές]ων correxi. || 19 in. ΣΣ; ΕΣ apogr. || 21 med. ΞΕΝΟΥ....ΝΟΥ...ΓΙ || 22 extr. ΘΣ; ΘΕ apogr. || 23 med. ΙΑΣΙΣΔΙΔ; deinde c. extr. ΑΡΙΣΤΕΑΣ; Ἀριστείδου apogr. minusculis litt. || 24 ΣΓΟΓΓΙΑΙ · Ι · apogr. alterum; σπογγιαὶ ΗΙ alterum; extr. supplevit Hiller. || 25 in. · Ι · ΕΛΑΙΟΥΔΟΥΣ. Porro ante δολίχου, ἄὖπνει scribere nolui, quod hic nomen proprium victoris exspectatur, velut Λυγκεῖ (Hiller). || 26 ΑΡΙΣΤΑΛΙΚΙΩΙ; ΑΡΙΣΤΟΛ apogr. || 29 neque αὐλητῆ[ι] neque αὐλητρί̣δ̣ι hic reponendum esse credo, nam omnia de stela hoc loco intellegenda esse videntur; vs. extr. [ἀ]ναγρά[ψαντι] conicit Hiller. || 30 in. ΔΟΚΛ apogr.: nescio an μ]όυβδ[ος .]ΙΙΙ..., deinde ξύ[λα Ι]ΙΙΙΙ reponendum sit. ΑΓΕΝΕΓ ΚΟΣΙ || 31 οὔτ' ἀπ[οδ]ό̣[ντ]ων [τὸ] ἐπιδέ[κατον] Hiller; sed ἀποδιδόναι τὸ ἐπιδ. quomodo dici possent conductores operum vel sponsores equidem non perspicio. || 33 ΕΥΔΙΟΣ....ΤΟΥ....ΙΝ.ΙΟΥ; inter ΤΟΥ et ΙΝ intervallum minus in apogr.; vs. extr. ΕΓΚΕ; ἔγκεκ apogr.

Vss. 1—4 traditio Artemisii = n. 203 *B* 72—74. || 5—10 traditio Ilithyaei = n. 203 *B* 88—92.

Vss. 12—33 rationibus pecuniarum additamentum, nempe: 12—24 pecuniae perceptae a publicanis et a debitoribus, et permixte reditus varii; 24—33 expensae pecuniae. || 17 Ποσίδεια: cf. n. 203 *A* 57 et ad n. 287 *A* 89. || 24 εἰς Ἄθλα: cf. n. 203 *A* 64 et ad n. 287 *A* 10.

Aetatem tituli mediam esse inter a. 260 et 250 nomina virorum testantur.

publicani Δημάρης Εὐ. (13): nep.? cognominis statua honoratus *BCH* IV 1880, 213 n. 3. Ἐξήκεστος (12): cf. ad n. 162 *A* 39. Φίλων Δη. (12): cf. n. 287 *A* 39 et ad n. 224 *A* 6. Χαρίλας (12): cf. n. 287 *A* 39 sq.

debitores Ἀπολλόδωρος Κυ. (23): cf. ad n. 142, 14 et ad n. 161 *A* 31 in debitorum catalogo. Γέρυλλος Πι. (20): cf. ad n. 158 *B* 20. Γοργώ (20): cf. ad n. 158 *A* 27. Ἐπίκτητος et sponsor Ὠκυνείδης (14. 15): cf. n. 353 *A* 40. Εὐρυμάνθους κλη. (20): cf. ad n. 199 *A* 11. Κοσμιάδης Εὐ. (15): cf. ad n. 223 *A* 6. Κράτων (Μνησιάδου) (22): cf. ad n. 223 *A* 63. Πιστῆς Ξέ. (21): cf. ad n. 161 *A* 124. Πολυξένου (τοῦ Φωκαέως) κλη. (21): cf. ad n. 161 *D* 81. Ῥάδις Δι. (23): cf. ad n. 226 *A* 25. Τελέσανδρος Παρ. (19): cf. ad n. 199 *A* 4. Φιλτῆς Τλη. (21. 22): cf. ad n. 161 *A* 32 sq.

sponsores Πόλυβος ὑπ. Με. (18): cf. ad n. 362 *B* 10. Τε[λές?]ων ὑπ. Ἀ. (18): cf. n. 203 *D* 6. 7. Ὠκυνείδης (15): cf. supra Ἐπίκτητος.

operarius Ἀριστοκλῆς (28): cf. ad n. 161 *A* 56.

athletae Ἀριστόδικος (26): cf. n. 203 *A* 66. Ἐπίχαρμος, Θεόγνωτος (27): cf. n. 205 *B a* 20. Τελέσανδρος (26): idem? n. 287 *A* 132.

---

275 Deli in museo, inv. Γ 601. Frustum marmoris subfulvi undique mutilum. A. 0,21, l. 0,27, cr. 0,068. Ad viam sacram prope Artemisium a. 1909 erutum. Opisthographum. Litteris a. 0,006 paullum inclinatis. Exscripsi et *A* edidi *BCH* XXXV 1911, 40 n. 26.

A

- [χο]εῖς δύο -
- Στρατονικ -
- δύο εἰς ἱεροπόιο[ν] -
- ΙΙΙΙ · Ἀρησιῶνος χ[οῖρος τὸ ἱερὸν καθάρασθαι] -
- [ξύλα? ἐπὶ βωμ]οὺς καὶ ἱεροπόιον -
- ΙΙ · ἐλαίου χοεῖς δύο ΗΗ!! -
- [ἐπιτιμηταῖς τῶι δεῖνι ΔΔΔ]Δ · Κόνωνι ΔΔΔΔ · Πυρρα[ίθωι ΔΔΔΔ ·] -
- Πολυζήλου Γ Δ · ΝΕΙ -
- [νεωκόρωι εἶ]ς τὸν θεὸν [Γ] Δ -
- καὶ Κλεοβούλωι ΔΑΙ -
- Α ΔΓΗΗΗΙΙ.../ΕΟ -
- [Πυθο]κλῆς Πορθμοῦ Γ[ΗΗΗΗΔΔΔΗ·] -
- [παρὰ Κερκίωνος Δι[ονυσίου ΓΓΔ·] -
- [παρὰ Πολυξένου Πανόρ]μου Γ ΗΗΔΔ[ΔΗ·] -
- [παρὰ Τιμοξένου? Κορακιῶ]ν καὶ Σολόη[ς ΗΗΗΗ·] -
- [Νεοκροντίδη?]ς τοῦ Κε[ραμείου ΗΓΔΔΗ·] -
- Ν · Διογέ[νης] -

B

- ων -
- Λξ -
- ΙΙΛ - (*c. 8 l.*) - Ο -
- ΕΩ - (*c. 8 l.*) - Ω -
- ΟΥ - - - - ΝΘ -
- [ἐπ' ἀρχι]θεώ[ρου - -]του -
- [Κ]ῴω[ν φιάλη ἐπ'] ἀρχιθεώ[ρου] -
- [ἐπ' ἀρχι]θεώρου -
- Τ̣ΩΙΔΟΤΟΣ -
- Α..C [χ]ρυς -
- Μικ[ί]ωνο[ς]? -
- ΙΝ.ΝΓΛ -

A vss. 1—11 rationes pecuniarum singulis mensibus expensarum. || 7 de triumviris qui ἐπιτιμηταί audiunt agi e mercede 40 dr. sumo: cf. ad n. 203 *A* 62. || 12—16 mercedes a villicis pensae. Ex hoc loco constat titulum intra a. 259—250 conditum esse; nam quae supersunt cum n. 287 *A* 25 sqq. concinunt, cuius tit. annus 250 ultimus huius locationum decennii est; 15. 16 tamen nomina dubitanter supplevi, nam illorum fundorum villici intra hos annos mutati sunt: cf. n. 224 *A* 12—17. || *B* traditio, ut videtur, templi Apollinis: cf. n. 287 *B* 33 sqq. Vs. 11 Μικ[ί]ωνο[ς] valde dubium, nam huius nominis donator ante atticos alterius a. C. saeculi nusquam occurrit.

epitimeta Πύρραιθος (*A* 7) iterum n. 290, 109.

276 Deli in museo, inv. Γ 349. Angulus inferior dexter stelae marmoreae subcaeruleae. A. 0,185, l. 0,15, cr. non integra 0,03. A. 1905 inventus. Litteris satis gracilibus, altis 0,004, medii saeculi tertii. Superficies marmoris admodum detrita, ita ut multa incerta sint. Exscripsit Schulhof et ed. *BCH* XXXII 1908, 55 n. 9. Contuli.

```
                - - - - -
                 ΔOYΓPΩI
5                - - - - -C -
                 - - - - -
                      - ΔPAXM -
          - I Πύθια? ὑμνοῦν ΔΔ · τοῦ ΓII -
          - C εἰcόΔωN εἰc TAMÍAN? - -
10        - HΔΔΔ ||| · τοῖc cYNA....
          - ΣIOΣΔE.ΣIONEΛI!!! - -
        - [Λ]αμπάδος ΡIII · τὸ ἄπο- -
            vac.          Παρὰ K -
          - ⊓MMMXHHHHΔΔΔIH -
15        - ΩNΩIΓOIΓ^Ω..ΓI - -
    - [Φίλλιος τοῦ] Ποcειδίκου, Ἐλπί[νου] -
              - δευτέραν HHHΔΔH -
              - δευτέραν ⊓ΔΔ -
```

In vss. 1—7 nonnullas lectiones prioris editoris ut prorsus dubias non retinui; vss. 8—10. 12. 13 emendavi.

Vs. 16 Φίλλιc Πο. archon fuit a. 259 (cf. ad n. 115, 1), Ἐλπίνηc a. 262 (cf. ad n. 113, 15): qui cum una hic occurrant non servato temporum ordine, eosdem crediderim hieropoeorum magistratum antequam archontes essent eodem anno gessisse: de qua re sane praeter hunc titulum indicium nullum exstat.

---

277 Deli in museo, inv. Γ 178. Frustulum marmoris subcaerulei undique mancum. A. 0,18, l. 0,15, cr. non integra 0,05. A. 1907 ad occidentem porticus Antigoni erutum. Litteris eiusdem speciei atque in n. 269, a. 0,006. Commemoravi *BCH* XXXV 1911, 40 n. 22.

```
              - OYCIN -
            - MOI Δ #III/ -
        - [Καλ?]λίμου Δ -
            - HC Πoc -
5       - [Χοιρ?]ύλος I -
            - ION εἰC I -
            - ΛON KA -
          - [Χ]άρμου -
            - ICANTΩ -
```

```
10                - [ἐ]ξῆc Ἄν -
      - [τὰ οἰκήματα τὰ πρὸc τῆ]ι θαλάccηι Μ -
          - [τὴν οἰκίαν] τὴν Ὀρθοκλ[έους] -
                - cιoc ΔΔΔΔIII -
          - [τὴν οἰκίαν τὴν] Cωcιλε[ίαν] -
15                - Δ · παρ -
                  II
```

---

278 Deli in museo, inv. Γ 415. Fragmentum marmoris subfulvi undique mutili. A. 0,29, l. 0,19, cr. max. nec integra 0,063. Quo loco et quo anno inventum sit, non traditum est. Litteris valde detritis eiusdem ferme speciei atque in n. 269. Exscripsi a. 1908.

```
          - [Δ]όcειc [τ]ρεῖc? M -
          - TI....ENΓ^ -
          - INI....THNIPO -
          - ¯HHII · θράcωνι -
5               - Σ.KPAΣ^ -
                  - HΔΔΔΔI -
                - [τ]ετταρ -
                   - IΓΛ -
                   - AΞA -
10                 - K.AI -
                   - εΛ -
                 - Λ -
                 - N...Y -
            - \HΣ -
15            - T -
```

---

279 Deli in museo, inv. Γ 12. Frustulum marmoris albi undique fracti. A. 0,094, l. 0,07, cr. non integra 0,035. A. 1906 prope aedificium quod »*monument de granit*« dicitur inventum. Litteris a. 0,008, leviter inclinatis, eiusdem fere speciei atque in n. 269. Exscripsit P. Roussel, iterum inspexi et commemoravi *BCH* XXXV 1911, 40 n. 23.

```
          - Mnhc -
          - N Kλε -
          - τοῦ Φωκ[αιέως?] -
        - [Τι]μηcιδ[ημ] -
5         - hcam -
          - c cτη -
          - ξένω -
          - ¯A \ -
```

---

280 a Deli in museo, inv. Γ 410. Fragmentum marmoris subfulvi, undique mutili, origine ignota; a. 0,21, l. 0,24, cr. integra 0,075. Litterae eiusdem speciei atque in n. 269, a. 0,007. Exscripsi a. 1908. *Ect.*

A

```
  \ΛON
- ΔHHII · MA -
- κοπὲν Γ -
 - - ⊓H - -
  vac.
```

B

```
                - AΛO -
              - ΛNI...AΓY -
- [ὅρμος χρυcοῦc λογχίων ἄcτατος, Δημοcτράτη]c ἀνάθημα, ἀριθ[μὸς λογχίων ⊓ΔΔIIII·] -
                - [ἄλλα] παντοδαπὰ ἐπίχρ[υcα] -
5          - [ἀνδριαντίcκο]c χρυcοῦc τὴν μίαν [κνήμην οὐκ ἔχων, ὀλκὴ ΡΗ·] -
- [καὶ ἄλλα παντοδαπὰ ἀνειρμένα ἐπὶ λί]νου, ὀλκὴ ΡHHIII · cτλε[γγίδιον ἐπὶ ναΐcκου χρυcοῦν·] -
- [ὅρμος χρυcοῦc ὃ]ν ἀνέθηκε Cιμίχη, [ἄc]τα[τος, ἀριθμὸς λογχίων ⊓ΔΔΔΔII·] -
- [cτέφανος δάφνηc χρυcοῦc, ὀλκὴ cὺν λίνωι ⊓]Δ⊓[H]H · cφραγὶc cμαράγδο[υ ἄcτατος·] -
- [περιδέραια καὶ ἀcπιδίcκη καὶ ἐν]ώτι[α καὶ] φυκίο[ν, ὀλκὴ cὺν τῶι λίνω[ι καὶ κηρῶι ΔΡHIII·] -
10          - [ξυcτάλλιον ἐγ κιβω]τίωι ἀνάθημα· ἡδυποτίδιον ἀργ[υροῦν, ἀνάθημα Ἀρχίππηc·] -
- [πέταλα χρυcᾶ ἐ]γ κιβωτίωι, ὀλκὴ HH⊓ΔΔΔ[ΔΡHHH·] -
- [χρυcίου πα]ντοδαποῦ λευκοῦ ὀλκὴ [HHHΔΔΔΔ·] -
- [δακτύλιοc χρυcοῦc Ἀρτεμίcιον ἔχω]ν, ὀ[λ]κὴ ΡIII · χρυ[cίου παντοδαποῦ ὀλκὴ HHHΔΔΡH·] -
                - [ἄ]λλοc - - -
```

B traditio Artemisii = n. 287 *B* 14—24. || Vs. 10, ut in illo tit. *A* 19, post ἀνάθημα desideratur nomen donatoris.

280b Deli in museo, inv. Γ 416. Frustulum eiusdem marmoris et scripturae atque fr. 280*a*; eiusdem stelae, ut credo, utrumque. A. 0,19, l. 0,105, cr. manca 0,06. Origine ignota. Exscripsi a. 1908. *Ect.*

(*B*)

- ου Ῥοδίων -
- ων φιάλη ΛΙ -
- [Ἀπολλ]ο̣φάνου(c)? φιάλη -
- λιον ἐπ' ἀρκι[θεώρου] -
- [Ἡρα]κλείδου φιάλ[η ἔκτυπος] -
- [φιάλη Μ]εγαλοπολιτ[ῶ]ν [ἐπ' ἀρχιθεώρου Ἀφθονήτου] -
- [κολεὰ δύο ἐλεφάν]τινα, τὸ μὲν Τιμ[έου, τὸ δὲ Θυμώιδου] -
- cτέφανος χρυcοῦc [ἐπὶ προκομίου, Παμφίληc] -
- [Ἀρχεcτράτου ταινία περιη]ργυρωμένη ΚΑ.ΤΑ -
- [τριήρηc ἀργυρᾶ, Cελε]ύκου ἀ̣ν̣άθημα -
- c ἀνά[θ]ημ[α] -

Traditio templi Apollinis; vs. 5—10 = n. 287*B* 43—48. || 3 ΩΦΑΝΟΥ ut videtur; dubitanter contuli n. 287*B* 33. || 9 non videtur κρατῆρεc exstitisse ut in n. 287*B* 48.

---

281 Deli in museo, inv. Γ 417. Frustulum marmoris albi a nulla parte integri. A. et l. 0,15, cr. 0,03. Ante porticum Philippi a. 1905 inventum. Litteris a. 0,006 eiusdem fere formae atque in n. 269. 270. Superficies detrita. Ed. Schulhof *BCH* XXXII 1908, 66 n. 13. Iterum exscripsi a. 1907.

Ο̣
- [χ]ρυcία καὶ -
- δακτύλιοc α -
- ΗΗΔ̣Δ̣ · Ἀριc -
- [χρυc?]ένδετοc, ὁλκ[ὴ] -
- οc, ὁλκὴ · Ρ · α -
- ν, ὁ̣λκὴ -
- ΛΛ κόρυμ[βοι] -
- μ.....ον καὶ δ -
- Σ - - - ΣΑ -
- Υ̣ο [- ἄλ]λη? Ἀρκ[έοντοc?] -
- ΥΣ/ -

Vs. 5 [χρυc]ένδετοc vel [ἀργυρ]ένδετοc [Sch.]. Ceterum non paucas lectiones Schulhofii ut prorsus dubias non retinui.

282 Deli in museo, inv. Γ 328. Marmor subcaeruleum undique mancum. A. 0,18, l. 0,16, cr. non integra 0,042. A. 1903 in puteo ad occidentem porticus Antigoni inventum. Litteris a. 0,006, valde corrosis. Edidi *BCH* XXIX 1905, 473 n. 152. Iterum adii lapidem, sed fere nihil profeci.

ΡΥ
ΛΕΜ
ΜΙ.Λ.Ν
- καρυωταὶ ἄλλα[ι] -
- [τ]οῦ Νη[cιώ]τ[ο]υ?· ἄλλ -
ΑΚ - - ΗΣΑΝ
- [ἄλ]λη λυcι - - ΛΛΙ
ΧΝΙ - - - ΛΙΙ
ΛΛΔΕΡΙ
- ε - - - - υρίδ̣ηc -
- ου -
ΛΛΙ
- κεφαλὴ̣ - - ΑΤΑΙ
- [ὁλκὴ cὺν τῶι Ξ]ύλωι ΔΓΙΙΙΙΙC · ᴗΜΕΙΙΙΙ
- ΙΡΔΙΙ · καβάc̣αc ἐν[νέα?] -
- [χαλ]κῶν ψήγματα -
ΙΙΙΙΙ - - ΑΜΟΝ

De aetate ambigo. Titulus videtur priori parti saeculi tertii adscribendus esse. || Vs. 15 καβάcαc: cf. ad n. 287*B* 89.

---

283 Deli in museo, inv. Γ 327. Fragmentum marmoris albi, margine partim integro ad dextram. A. 0,21, l. max. 0,32, cr. 0,077. In aedificio quod 'Trésor I' ab Homollio nuncupatum est a. 1902 erutum. Litteris pinguibus, leviter inclinatis, a. 0,008. Exscripsi et edidi *BCH* XXVIII 1904, 157 n. 53. Iterum lapidem adii a. 1909. *Ect.*

- λα -
ΛΚ̣ΑΡ̣
εc ΓΑι
- α κυμβία δύο -
- ια· φιάλια ἀργυρᾶ τ[ρία]· -
- [cτέφανοι χρυcοῖ εἴκοcι εἷc· ὁ πρῶτο]c μυρcίνηc οὗ τὸ ἄλφα, ὁλκὴ [Η]· -
- [ὁ τέταρτοc δάφνηc, ὁλκὴ cὺν τῶι cπάρτ]ωι ΡΔΔΔΓΗΗΗ · ὁ πέμπτοc δάφνηc, [ὁλκὴ ΗΔΔΙΙΙ]·
- [ὁ ὄγδοοc δάφνηc, ὁλκὴ Ρ]ΔΓΗΗΗΗ · ὁ ἔνατοc δάφνηc, ὁλκὴ ΡΔΓΗΗΗΗ · ὁ δέκατοc
[δάφνηc, ὁλκὴ ΡΔΔΔΔΓΙΙΙ · - - ὁ δωδέκατοc δάφνηc, ὁλκὴ c]ὺν τῶι λίνωι ΡΔΔΔΓΙΙΙ · ὁ τριcκαιδέκατοc δάφνηc, [ὁλ-]
[κὴ ΡΔΔΔΗΗΗΙΙΙ · - - - - - - ὁ πέμπτοc καὶ δέκατοc δάφνηc,] ὁλκὴ ΡΔΔΔΙΙ · ὁ ἕκτοc καὶ δέκατοc [δάφνηc],
[ὁλκὴ ΗΔΔΗΗΗΙΙΙ · - - - - - ὁ ὄγδοοc καὶ δέκατοc δάφνη]c, ὁλκὴ ΡΔΔΔΔΓΗΗΙΙΙΙΙ · ὁ ἔνατοc καὶ δέκα[τοc]
[δάφνηc, ὁλκὴ ΡΔΔΔΗΗΗΙΙΙ · - - - - - - - - - - - - - - - - τούτου]c οὐ παρελάβομεν cταθμῶι, οὐδὲ γ[ὰρ]
[αὐτοὶ ἔφαcαν cταθμῶι παραλαβεῖν. - - - - - - - - - Ἐξ' Ἀρτεμιcίου cταθμ]ῷ[ι καὶ] ἀριθμῶι· cτέφανον χρυcοῦν κι̣c̣[cοῦ]
[βαcιλέωc Πτολεμαίου *cet.* - - - - - - - -· cτέφανοc - - Φιλοκλέ]ουc, ὁλκὴ cὺν τῶι λίνωι ΡΔ[Δ]ΔΓ[ΗΗΗΙΙΙΙΙ]·
- [cτέφανοc δάφνηc Πευκέ]c̣τα ἐπιδόντοc, ὁλκὴ cὺ[ν λίνωι ΡΔΗΗΙΙΙ]·
- [cτ]έφανον χρυcοῦν - - - - - - - -
- cὺν λίνωι καὶ κηρῶι - - - - -
- [cτέφανοc δάφνηc Δημ]ητρίου ἀνάθημα - - - - -
- ΓΗΗΗ -
- ην -

Vs. 1—5 traditio templi Apollinis, ut puto: vs. 4 = n. 287*B* 75; vs. 5 ibid. 74. 75. || 6—13 catalogus coronarum aurearum viginti unius quae prius in templo οὗ τὰ ἑπτά muro appensae erant; cf. n. 199*B* 28—31; deinde in templum Apollinis devenerunt: cf. ad n. 287*B* 77—83; ex quo tit. etiam vs. 13 suppletur. || 14 sqq. traditio Artemisii: cf. n. 287*B* 2 sqq. Plura etiam supplere potui; sed nihil prodest.

284 Deli in museo, inv. Γ 186. Fragmentum marmoris subcaerulei undique mutili, a. 0,17, l. 0,163, cr. 0,033. Litterae pingues, a. 0,007—8, apicibus modicis ornatae, prioris partis saeculi tertii. Origo ignota; exscripsi a. 1907.

– –
– ΣΑΝΛΣ –
– ΟΥ ΑΝΑΘΗΜ[Α] –
– ΙΙ ΤΟΥ ΠΡΩΤΟΥ Δ –
– ΙΝ *vac.* ΧΑΛΚΟ–
– [ΤΑΔΕ ΕΜ ΠΛΙΝΘ]ΕΙΟΙΣ ΑΣΤΑΤΑ· ΦΙΑΛΗΓ Κ[ΑΛΛΙΚΛΕΟΥΣ ΑΝΑΘΗΜΑ] –
– [ΣΤΕΦΑΝΟΝ ΧΡΥΣ]ΟΥΝ ΠΡΟΣΗΛΩΜΕΝΟΝ, Α[ΥΤΟΚΛΕΟΥΣ ΑΝΑΘΗΜΑ] –
– [ΚΟΚ]ΚΟΥΣ · Δ ΙΙΙΙ · ΣΤΕΦΑΝΟΥ [ΚΛΑΣΜΑΤΑ ΕΓ ΚΙΒΩΤΙΩΙ?] –
– ΧΡΥΣΟΥΣ ΣΤΕΦΑΝΟΥ[Σ ΠΡΟΣ ΤΩΙ ΤΟΙΧΩΙ ΕΙΚΟΣΙ ΕΙΣ] –
– [Ὁ ΤΡΙΤΟΣ ΡΔΡ]ΗΗΗ · Ὁ ΤΕΤΑΡΤΟΣ · ΡΔΡ[ΗΗ ·] –
– [Ὁ ΔΕΚΑΤΟΣ ΡΔΔΔΔΔΗΗΗ]Η · Ὁ ΕΝΔΕΚΑΤΟΣ ΡΔΡ[ΗΙΙΙΙ ·] –
– [Ὁ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ ΡΔ]ΔΔΗΗΙΙΙΙΙ · Ὁ ΕΚ[ΚΑΙΔΕΚΑΤΟΣ · ΗΔΔΗΗ ·] –
– [Ὁ ΕΙΚΟΣΤΟΣ · Η · –
– [ΚΑΙ ΤΑΔΕ ΕΝ] ΤΩΙ ΑΡΤ[ΕΜΙΣΙΩΙ] –

Traditio templi ΟΥ ΤΑ ΕΠΤΑ = n. 199*B* 26 sqq. quocum potissimum pondera videntur concinere; cf. etiam ad n. 154*A* 61—65.

---

285 Deli in museo, inv. Γ 371. Fragmentum marmoris candidi, cuius margo a sinistra integer, a. 0,095, l. 0,065, cr. 0,017. Origine ignota. Litteris a. 0,008. Exscripsi a. 1908.

Α –
ΧΡΥΣ –
ΚΥΡΒΗΛ[ΙΩΝ] –
ΑΡΓΥΡΑ –
ΝΟΣ ΑΝ –
ΓΥΡΙΟΥ –
Μ –

286 Deli in museo, inv. Γ 368. Frustulum marmoris albi undique fracti. A. 0,12, l. 0,14, cr. manca 0,028. A. 1904 prope litus repertum. Litteris a. 0,006 medii tertii saeculi. Ed. Schulhof *BCH* XXXII 1908, 70 n. 17.

– ΑΣ –
– ΣΟΥ.Ρ̣Ο̣ –
– ΒΑΤΙΑΚΗ –
– Α̣ ΦΙΑΛΗ –
– ΟΜΕΝΟΙ̣ Ε –
– [Α̣]ΝΑΘΗΜΑ –
– [ΑΝΑΘ]ΗΜΑ· ΚΥΛΙ[Χ] Υ Ο̣ –
– [ΘΗΡΙ̣]ΚΛΕΙΟΣ –
– ΝΑ ΕΙ̣Σ Τ̣ –

---

287 Deli in museo, inv. Γ 91. Tabula marmorea subcaerulea opisthographa undique integra. A. 2,04, cum pede 2,18, l. 1,12, cr. 0,13. Inventa a. 1880 in muro orientali periboli. Litteris a. 0,007, leviter inclinatis et satis similibus atque in n. 205. Commemoravit Homolle *Archives* 129 n. XLVI; ed. idem *BCH* XXVII 1903, 64. Contulimus ego et P. Roussel a. 1909. Si quae litterae interim perierunt, lineola subducta significavi. *Ect. Tab.*

A

Θ ε ο Ι.

a. 250 Λόγος ἱεροποιῶν τῶν ἱεροποιησάντων ἐπ' ἄρχοντος Σωσισθένους, Ἐπιτροφῶντος τοῦ Κινέου, Καίβωνος τοῦ Λυσανίου.

a. 251 Παρελάβομεν παρὰ Τηλεμνήστου τοῦ Φιλίου τοῦ ἱεροποιήσαντος ἐπ' ἄρχοντος Ἀρτυσίλεω παρούσης βουλῆς καὶ γραμματέων Μνησικλέους τοῦ Μνησικλέους, Θεοπρώτου τοῦ Ἐπιχάρμου· ἐκ θησαυρῶν· τοῦ ἐν ἱερῶι δραχμὰς ΔΔΔΔΡ ΗΗ· ἐκ τοῦ ἐν Νήσωι ΡΙΙΙΣ· ἐκ τοῦ ἐν Ἀσκληπιείωι ΔΔΡ Η· ἐκ τοῦ ἐν Ἀφροδισίωι ΣΤ/. Καὶ τόδε παρελάβομεν ἀργύριον παρὰ Τηλεμνήστου· μηνὸς Ληναιῶνος δραχμὰς ΡΧ· καὶ ἄλλας μηνὸς Ληναιῶνος ΡΧΧΧΔΗ· καὶ ἄλλας μηνὸς Ληναιῶνος ΧΧΧ· καὶ ἄλλας μηνὸς Γαλαξιῶνος ΜΧΧΧΡΗΗΡΔΔΔΔΗ· καὶ ἄλλας Ἀρτεμισιῶνος ΧΧΧ· καὶ ἄλλας Ἑκατομβαιῶνος Χ· καὶ ἄλλας Ἀπατουριῶνος ΡΧΧΧΧΗ. Κεφαλὴ σὺν τῶι ἐκ θησαυρῶν ΜΜΜΜΧΧΧΡΗΗΗΗΡΔΔΔΗΙΙΙΙΤ/. Καὶ παρὰ Ξε-

a. 252. 250 νοκράτους τοῦ Ἱερομβρότου τοῦ ἱεροποιήσαντος ἐπ' ἄρχοντος Φάνου δραχμὰς Ρ· καὶ παρὰ βουλῆς τῆς ἐπὶ Σωσισθένου καὶ ταμίου Πιστοῦ· πεντηκοστῆς τῆς ἀστίας δραχμαὶ ΡΗΗΡ· ἰχθύων δεκάτης δραχμαὶ ΧΡΗΗΗΡ· ἐνοικίων δεκάτη[ς] ΧΡΗΡΔΔΔΔ· σίτου δεκάτης ΗΔ· καὶ τὸ ἐπώνιον τούτων δραχμαὶ ΗΗΗΗΔΔΔΔΡ· καὶ ἐξ ἐκ(κ)λησιῶν δραχμαὶ ΧΗΗ· καὶ παρὰ ταμίου Πιστοῦ εἰς ἆθλα Η· καὶ ὄρων ΔΔΔΔ· καὶ τραπεζῶν ΗΗ· καὶ εἰς Θεσμοφόρια Ρ· καὶ ἡ βύρσα ἐπράθη δραχμῶν ΔΡΗΗΗ. Παρὰ Δημοχάρους τοῦ Κύδρωνος δραχμαὶ ΔΔΔ, ἃς ἔφη ἐγγύ-

a. 261 αν ἀποτίνειν ὑπὲρ Ἀρπάλιος τοῦ Σίμου, ὃ ἐνεγέγραπτο ἐν τῆι στήληι ἣν ἔστησαν Τιμοκλῆς καὶ Ξενοκλείδης. Καὶ παρὰ τῆς βουλῆς

a. 251 τῆς ἐπ' Ἀρτυσίλεω δραχμαὶ Η, ἃς ἔφασαν ἀποδοῦναι Φίλλιν τὸν Φίλωνος. Καὶ παρ' Αὐτοσθένους τοῦ Ἐμμενίδου πρυτανικὸν Ρ· καὶ παρὰ Διοκλέους τοῦ Ἀριστογόρου πρυτανικὸν ΗΗ. Καὶ παρὰ Σωσιδήμου τοῦ ταμίου ΗΡΔΔΔΡΗΙΙΙΙΣΤ/. Παρ' Ἀμφικρίτης καὶ τοῦ κυρίου Δημό-

νου, τόκος ὃν ἔφη ἀποδιδόναι ὑπὲρ τῶν χωρίων ἃ ἦν Φερεκλείδου ΡΗΗΗΔΔΔΗΙΙΤ. Παρὰ Χοιρύλου τοῦ Τελέωνος ΔΔΔΗ, ἃς ἔφη ἐγγεγράφθαι ἐν τῆι στήληι ἣν ἔστησαν Θᾶρις καὶ Λάμπων. Παρὰ Καλλίμου ὑπὲρ τοῦ πατρὸς Ἀριστοδήμου Η καὶ τόκος ὃν ἔφη προσοφείλειν ΗΗΙΙΙΙ. Παρὰ Μαντιθέου τοῦ Ἀφθονήτου τόκος ὃν ἔφη ἀποδιδόναι ὑπὲρ τῆς συνοικίας ἣ ἦν Φερεκλείδου ΡΗΔΗΗΙΙΙΙΣ. Παρὰ Ξένωνος ὑπὲρ Νικάνορος ἐργασίας Σολόης καὶ Κορα-

(κιᾶς – –).

Καὶ τάδε εἰσήκει· μηνὸς Ληναιῶνος· ἐκ φιάλης ΗΤ· χηναλωπέκων δύο ΙΙΙΙΣ· περιστερῶν ΙΤ. Ἱεροῦ· ἐκ φιάλης ΗΙΙΙΙΙ· χηναλωπέκων δύο ΙΙΙΣ. Γαλαξι-

ῶνος· ἐκ φιάλης Η · αἰγίσκου ΗΗΙΙΙΙC · περιστερῶν ΙΙC. Ἀρτεμισιῶνος· ἐκ φιάλης ΗΙΙΙ · περιστερῶν ΙCΤ/ · αἰγίσκου ΡΗΗΙΙΙΙC. Θαργηλιῶνος· ἐκ φιάλης ΗΙCΤ · ὠιῶν ΙΙΙ ·

περιστερῶν ΗΗΙΙΙΙΤ. Πανήμου· ἐκ φιάλης ΗΙΙ · περιστερῶν ΙΙΙC · κόπρου περιστερῶν ΡΗΗ · ταὼ ΗΗΙΙCΤ · χηνὸς ΗΙΙΙ. Ἑκατομβαιῶνος· ἐκ φιάλης ΗΙΙC · περιστερῶν ΙΙΙΤ/. Μετα-

γειτνιῶνος· ἐκ φιάλης ΗΙΙΙC · περιστερῶν ΙΙΙ. Βουφονιῶνος· ἐκ φιάλης ΗΙΤ · περιστερῶν ΙC. Ἀπατουριῶνος· ἐκ φιάλης ΗΙΙΤ · παρὰ Ἀρησιμ-

βρότου λίθων τῶν ἀπὸ τοῦ Ἡρακλείου

ΗΗΗΗΙΙΙΙΙ · χηναλώπεκος ΙΙΙ · τῶν ξύλων τῶν ἀπὸ τοῦ κοτίνου παρ᾽ Ἀττινᾶ ΗΗ · καὶ παρὰ Τηλείου ΗΙΙ. Ἀρησιῶνος· ἐκ φιάλης ΗΙΙΙC · περι-

στερῶν ΗΙΙCΤ/ · κεραμίδων κλασμάτων τῶν κα-

θαιρεθέντων ἀπὸ τῶν οἴκων ΔΔΔΙ|Ι · τῶν τορνευμάτων ἀπὸ τῶν χοινικίδων παρὰ Ξένωνος ΡΗΗΙΙΤ. Ποσιδεῶνος· ἐκ φιάλης ΗΙΙΙ · χηνα-

λώπεκος ΙΙΙΙΙ · κόπρου π[ερι-]

στερῶν ΙΙΙΤ · τοῦ βοὸς τοῦ θυθέντος τοῖς Ποσιδείοις ἡ βύρσα ἐπράθη δραχμῶν ΡΗΗΗ · καὶ κώδιον δραχμῶν ΗΗ · δοκίδος συντετριμμένης τῆς καθαιρεθείσης

ἐκ τοῦ ἀνδρῶνος ΗΙΙΙΙ.

Καὶ παρὰ τῶν μεμισθωμένων τὰ ἱερὰ τεμένη εἰσήκει· Πορθμοῦ παρὰ Πυθοκλέους ΡΗΗΗΗΔΔΔΗ · Ῥάμνων παρ᾽ Αὐτοκλείους ΡΡΔΔΔ...·

Λιμνῶν παρὰ Κυνθιάδου ΗΗΗΗΡΔΔΔ · Νικοῦ χώρου παρὰ Πυθοκλέους ΗΗΗΔΔΗ · Διονυσίου παρὰ Κερκίωνος ΡΡΔ · Σκιτωνείας παρὰ Καλλισθένους ΗΗΗΗΔΔΔΙ|ΙΙΤ// · καὶ παρὰ

Ἑρμωνος τοῦ ἐγγύου τὸ ἐπιβάλλον αὐτῶι τῆς ἐργείας ΔΔΡΗΗ · Χαρωνείας παρὰ Τιμησιδήμου ΗΗΗΡΔΔΙ · καὶ παρὰ τῶν ἐγγύων καθ᾽ ὃ

ἐγίνετο ἑκάστωι τῆς ἐργείας· παρὰ

Πολυξένου τοῦ Ἀλκιμάχου ΔΔΗΗΗΗΙCΤ/ · παρὰ Διονυσοδώρου τοῦ Θεοτίμου ΔΡΗΙΙΙΙ// · παρὰ Κλεομάχου τοῦ Πελάγοντος Ρ|ΗΗΙΙCΤ// ·

παρ᾽ Εὐκλείδου τοῦ Πυρ(ρίδου?) Ρ|ΗΗΙΙΙ[ΙΙΤ?] ·

παρὰ Πολυστράτου τοῦ Τιμο(θέμιδος?) ΗΗΙΙΙC · παρὰ Θεοκύδου τοῦ *vac.* ΗΙΙΙ// · παρ᾽ Ἀριστοφίλου τοῦ Μνη. ΗΤ/ · παρὰ Τιμοκράτους τοῦ Λυς(ανίου?) ΙΙΙΙCΤ/ · Χαρωνείας παρὰ Βούλωνος ΗΗΗΗΔΔΔ

ΡΗΗ · Πανόρμου παρὰ Πολυξένου ΡΗΗΔΔΔΗ · Χαρητείας παρὰ Διογένους ΡΗΗ · *vac.* Χαρητείας παρὰ Ξενοκράτους ΗΗΡΔΔΔΗ · Πύργων παρὰ Κλεινίου ΧΔΗΗC/ ·

Φοινίκων παρὰ Διακτορίδου ΡΗ · τῶν Σωσιμαχείων παρ᾽ Ἀπολλωνίου ΗΗΡ · Ἄκρας Δήλου παρ᾽ Ἐμπέδου ΗΗΗΗ · Σολόης καὶ Κορακιῶν παρὰ Τιμοξένου ΗΗΗΗ · Ἐπις-

θενείας παρὰ Περιάνδρου ΡΗΡΔ · Λειμῶνος παρὰ Διονυσοδώρου ΗΗΗ · Ἱπποδρόμου παρ᾽ Ἱερομβρότου ΗΗΗΡΔΡΗΗΙΙΙCΤ/ · καὶ παρὰ τῶν ἐγγύων τὸ ἐπιβάλλον αὐτοῖς τῆς

ἐργείας· παρὰ Καλλαγόρα ΡΡΙΙΙΙΙ · παρὰ Φίλωνος τοῦ Δημοσθντος ΡΔΔΔΡΗΙΙ// · τοῦ Κεραμείου παρὰ Νεοκροντίδου ΗΡΔΔΗ · τοῦ Λυκωνείου παρ᾽ Ἀκριδίωνος ΗΔΗ · τῆς

Λίμνης παρὰ ταμίου Πιστοῦ κατὰ ψήφισμα ΔΔΔΔΗΙΙΙΙ/ · Φυταλιᾶς παρ᾽ Εὐβίου ΔΔΔΔΗ.

Καὶ παρὰ τῶν μεμισθωμένων τὰς ἱερὰς οἰκίας· παρὰ Μένητος τῆς Χαρητείας ΡΔ · παρ᾽ Ἀν-

τιπάπου τῶν ἀνδρώνων ΔΔΔΔΡ · παρὰ Τληπολέμου τῆς Χαρητείας ΡΔΔΙ|Ι · παρ᾽ Ἀνδρία τοῦ ἀνδρῶνος ΔΔΡΙΙΙ|Ι · παρὰ Νικάνδρου τῶν ἀνδρώνων ΡΔΔΔ · παρ᾽ Ἀριστοβούλου

τῆς Σωσιλείας ΡΗ · παρ᾽ Ἀμφία τῆς Σωσιλείας πρὸς ᾗι ἡ κρηπὶς ΗΗ · τοῦ ξυλῶνος παρ᾽ Ἀμφία ΔΡ · καὶ τοῦ ἑτέρου παρὰ Φίλωνος ΔΔ · παρ᾽ Ἀριστοβούλου τοῦ Λυσιξένου τὰ τρία

μέρη τοῦ ἐνοικίου ΡΔΔΔΔΗΙΙΙCΤ · παρὰ Δημέα τῶν οἰκημάτων τῶν πρὸς τῶι σιδηρείωι ΡΗΗΗ · παρὰ Πυθαγόρα τῆς οἰκίας τῆς πρὸς τῶι Ἰνωπῶι ΔΔΔΔΗΗΗ · παρὰ Διακτορίδου

οὗ χαλκεύει Παρμενίων ΡΡΗΗ · παρὰ Διονυσοδώρου τῆς οἰκίας ἣ ἦν Ἀρκείοντος ΔΔΔΔΗ|· παρὰ Ποσειδίκου τῆς Ἐπισθενείας ΡΔ · παρὰ Καλλισθένου τῆς ἑτέρας ΡΔΡΗ ·

παρὰ Βοήθου τῆς οἰκίας τῆς ἐγ Κολωνῶι ΔΔΔΔ.

Τῶν ἐγκυκλίων · παρὰ Φίλωνος τοῦ λιμένος ΔΔΔΔ · παρὰ Ἀριστοβούλου τοῦ πορθμείου τοῦ εἰς Μύκονον ΔΡΗΗ · παρὰ Χαρίλα τ[οῦ]

ὀλκοῦ τοῦ ἐν Νήσωι ΔΔΔΔΗΗ · παρὰ Δεξικλέους τοῦ πορθμείου τοῦ εἰς Ῥήνειαν ΗΗΗΔΔΔΔ · παρὰ Διογένους τῶν στροφείων ΔΔΗΗC · παρ᾽ Εἰρηναίου τῶν ἡμιωβελίων ΔΔΔ ΗΗ · τῶν αἰ-

ρεσίων παρὰ Λυσοῦ ΡΔΔΔΗ · παρ᾽ Ἐξηκέστου τῆς πορφύρας ΔΡΗΗΗ · παρὰ Διακτορίδου καὶ Καλλισθένου τῶν ἐγγύων ὑπὲρ Λυσοῦ Η.

Τάδε

ἀνήλωται· μηνὸς Ληναιῶνος· χοῖρος τὸ ἱερὸν καθάρας-

θαι ΗΙΙΙΙΙ · ξύλα καὶ πεύκη εἰς θυσίαν τῶι Ἀπόλλωνι καὶ τῆι Ἀρτέμιδι τῆι νουμηνίαι Δ · ἄνθρακες ἐπὶ βωμοὺς καὶ εἰς ἱεροπόιον ΡΗΗ · ξύλα ΗΗΙΙΙΙΙC · λευκώματα εἰς διεγγυ[ήσεις]

ΗΙ · θησαυροὺς ἀνοίξαντι Νικίαι ΗΗ · στάμνοι ὥστε τῶι ἀργυρίωι ΗΙ · ἐλαίου χοεῖς δύο ΗΙΙΙΙ · σφυρίδες ταῖς φιάλαις ΙΙC · λιβανωτοῦ ταρτήμορον ΗΙΙΙΙ · ἐργάταις τὸ ἱερὸν ἀνακαθάρασιν

ΔΡΙΙΙ · τὸ Διοσκούριον ἀνακαθάρασιν ΗΗΙΙΙΙ · ἐγκαυστήρια ΗΙΙ · ἅλες ΙΙC · Βίωνι τὸν οὐδὸν κατασκευάσαντι τὸμ πρὸς τῶι Νεωκορίωι ΡΗΗΙΙΙ · καὶ Ἀντιγόνωι τὰς θύρας ἐπισκευ-

άσαντι καὶ ἐπιθέντι ΗΗΗΗΙΙ · μόλυβδος ΙΙΙ · παρὰ Καίβωνος τοῦ Σωτίωνος κριθῶν μέδιμνοι τρεῖς ὥστε τοῖς χηνὶν δραχμῶν Δ · ξύλων τάλαντα εἴκοσι, τὸ τάλαντον ΗΙ · ἀνενείρ-

κασιν ΙΙ · εἰς ἱερισμὸν Δ · σκεύη εἰς τὸν θεὸν ΗΗΗ · τὸ θέατρον ἀνακαθάρασιν ΗΙΙΙ · σχοινίον εἰς παλαίστραν Η · καὶ εἰς τὸν θεὸν Η · κλεὶς καὶ χελώνιον ἐπὶ τὸν Ἰνωπὸν ΗΗΙΙΙ · καὶ ἐ-

πὶ τὸ Ἡρακλεῖον ΗΗΙΙΙ · ἐπὶ τὴν σκηνὴν ΗΗΙΙΙ · ἐπὶ Διοσκούριον ΗΗΙΙΙ. *vac.* Ἱεροῦ · χοῖρος τὸ ἱερὸν καθάρασθαι ΗΙΙΙ · ξύλα καὶ πεύκη ΙΙ · στεφανώματα ΙΙ · ἐλαίου χοεῖς δύο ΗΙΙΙΙ · λαμπά-

δες Ἀπολλωνίοις τῶι χορῶι ΗΗΗ · ῥυμοὶ ΙΙ · κληματίδες ΙΙ · κόρακας θηρεύσαντι ΗΙ · τὸ περιραντήριον ἐπισκευάσαντι ΙC · λαμπάδες Ἀντιγο-

νείοις εἰς τὸν χορὸν ΗΗ · καὶ ῥυμοὶ καὶ κλη-

ματίδες ΙΙΙΙ · μισθωτῶι τὸ ἱεροπόιον συναναθάραντι ΙΙC · τῶι τὸ ἀνδριάντιον καθαρὸν ποιήσαντι τὸ πρὸς ταῖς Χάρισιν ΗΙΙΙ · Κόνωνι κιβωτὸν ἐπισκευάσαντι ὥστε τ[αμι-]

εῖον τοῖς χορευταῖς ΗΗ · Παρμένοντι ἀνακαθάραντι τὴν ἐξαγωγίδα τὴν ἐν τῶι θεάτρωι ΗΗ · ξύλων τάλαντα δέκα, τὸ τάλαντον ΗC · χάρτης ΗΙΙΙΙ · ἄνθρακες ΗΗ. Γαλαξιῶνος· χοῖρος

τὸ ἱερὸν καθάρασθαι ΗΗ · ξύλα καὶ πεύκη ΙΙ · παρὰ Σαρπηδόνος ἄγαλμα τῶι Διονύσωι ΔΔΓΗ · ξύλα Η · Ἀντιγόνωι καὶ Πατροκλεῖ ἐργασαμένοις καὶ ἀγαγοῦσιν ΗΗΙΙΙΙ · ἅλοι εἰς ϛε[υ-]
γιον ΙΙΙΙΙ · πρίσαντι ξύλον ὥστε ἐπὶ τὴν ἅμαξαν ΗΙΙΙΙ · γράψαντι ΓΗΗ · εἰς κόσμησιν τοῦ ἀγάλματος ΔΓΗ · ξύλων τάλαντα πέντε, τὸ τάλαντον ΙΙΙΙ · χάρτης ΗΙΙΙΙΙ · Εὐμένει τὸ περιραντή-
ριον ἀγαγόντι τὸ πρὸς τεῖ Γραφῆι ΗΙΙ · Θεοδήμωι ἐπισκευάσαντι τὰ ἐν Ἀφροδισίωι καὶ ἐν Ἀσκληπιείωι ὧν προσέδει ΗΗ · Φανέαι τριχάπτου ὥστε εἰς τὸ Ἀρτεμίσιον ΔΗ · ἐλαίου
δύο χοεῖς, τιμὴ ΗΗΙΙΙΙ · τοῖς χησὶν εἰς τροφὴν ΗΙΙΙΙ · εἰς κόσμησιν, μύρου τριημικοτύλια δραχμῶν ΓΗΙΙΙϹ, κηρὸς ΙΙΙ, σπόγγοι ΙΙΙϹ, λίνον Η · ἐλαίου χοεῖς εἰς κόσμησιν τρεῖς ΗΗΗ · Ἐμ-
55 πέδωι αἰγίδιον λαβόντι Η · ἄνθρακες Η. Ἀρτεμιδώνος · χοῖρος τὸ ἱερὸν καθάρασθαι ΗΙΙΙΙΙ · ξύλα καὶ πεύκη ΙΙ · ἄνθρακες ΓΗ · ξύλων τά-
λαντα ἑπτά, τὸ τάλαντον ΙΙΙΙΙ · χοῖ[ρος]
τὴν Νᾶσον καθάρασθαι ΗΙϹ · ξύλα καὶ πεύκη ΙΙ · Πατροκλεῖ ἀνάβασιν ποιήσαντι ἐν Νήσωι(ι) ΗΗ · καὶ κλειδὸς καὶ χελωνίου ἐπὶ τὸν τρύφακτον
Η · Ἀρτεμισίοις λαμπάδες εἰς τὸν
χορὸν ΗΗ, καὶ ῥυμὸς Ι, κληματίδες Ι · καὶ Φιλοκλείοις Η καὶ ῥυμὸς καὶ κληματίδες ΙΙ · Ἡρακλείδει χαλκίον ἐπισκευάσαντι ΗΗ · ἅλες ΙΙΙ · ὑίαθοι
εἰς ἱεροπόιον τέτταρες ΓΗΙΙΙΙ · αἰγίδιον λαβ[όν-]
τι Η · Νογίωι συνεγκαύσαντι τὰ κτήνη Ι · εἰς ἀνάλωμα ΗΗΙ · κόφινος ΙΙΙΙΤ · ἐλαίου χοῦς ἡμίχουν Η. Ταργηλιῶνος · χοῖρος τὸ ἱερὸν
καθάρασθαι Η · ξύλα καὶ πεύκη ΙΙ · ἐλαίου χοῦς ἡμίχουν [Η] ·
Κεφαλίωνι καὶ Βίωνι ἐπικοσμήσασιν τὸ ἄγαλμα τοῦ Διοσκούρου ΓΗΗ · Νικίαι ἐπισκευάσαντι τὰ ἐν Ἡραίωι καὶ ἐν Ὀρτ[υ]γίαι ὧν προσέδει ΓΗΗΗ
ΙΙΙΙ · Πεισικράτει κριθῶν μεδίμνων τρι[ῶν] [ὥς-]
60 τε τοῖς χησὶν ΓΗΗΗΗΙΙΙΙ · εἰς ἐπίκρασιν τοῖς Διοσκούροις ΓΗΗΗΙΙΙΤ · καὶ ἀνακαθάρασι τὸ Διοσκούριον ΙΙΙΙ · ἄνθρακες ΗΗΙΙΙ · Ἀρπάλι τὸν
[β]ωμὸν τὸν ἐν τῶι Θεσμοφορίωι ὑποικοδομήσαντι Η · Παρμέ-
νοντι τὴν Μινοΐαν ὑποικοδομήσαντι ΗΙΙΙ · Θεοδήμωι ἐπισκευάσαντι τὰς θύρας τὰς ἐν ταῖι στοαῖ τοῦ Θεσμοφορίου ΗΗ · ξύλων τάλαντα ἓξ, τὸ
τάλαντον ΙΙΙΙ. Πανήμου · χοῖρος τὸ ἱερὸν καθά-
ρασθαι ΗΙΙΙΙΙ · ξύλα καὶ πεύκη ΙΙ · Τίθωνι κρατῆρα ἐπισκευάσαντι Η · κηρὸς καὶ μίλτος Η · Νικίαι καὶ τοῖς μετὰ Νικίαν κατακαλλύναι τὴν κόπρον
τῶν περιστερῶν ἀπὸ τᾶς ἐπωροφίδος ΔΗΗΙΙΙ · καὶ
τὴν κόπρον ἐξενείγκασιν εἰς ἀγορὰν ΙΙΙ · καὶ τὸγ χοῦν τὸν πρὸς τῶι ἱερῶι ἀνακαθάρασιν ΙΙ · καὶ τὸν Θεορρήτου οἶκον ΙΙ · ξύλων τάλαντα δύο
ΗΙΙ · ἐλαίου χοῦς ἡμίχο(υ)ν Η · Θεοδήμωι θύραν ἐπισκευάσαντι ... ·
παρ' Ἀντιγόνου κριθῶν μέδιμνοι τρεῖς τοῖς χησὶν ΓΗΗΗ · Τίθωνι ἐκ τῶν καδίων τῶν ὑπαρχόντων κάδον ποιήσαντι εἰς παλαίστραν μισθὸς ΔΓΗ ·
καὶ Νικίαι ξυλώσαντι ΙΙΙΙΙ · καὶ σχοινίον
65 ΗΗ · ξύλων τάλαντα εἴκοσι δύο, τὸ τάλαντον ΙΙΙΙΙ · καὶ ἐνέγκασιν ΙϹΤ. Ἑκατομβαιῶνος · χοῖρος τὸ ἱερὸν καθάρασθαι ΗΙΙΙΙΙ · ξύλα καὶ
πεύκη ΙΙ · στεφανώματα ΙϹ · λιβανωτὸς Ϲ · ἐλαίου χοεῖς δύο ΗΗΙΙΙΙ · ἄνθρα-
κες ΗΗ · Λεωστρατίδει κριθῶν μεδίμνων τριῶν ὥστε τοῖς χησὶν ΓΗΗΗ · πίσσης μετρηταὶ δέκα εἷς, ὁ μετρητὴς Δ ΗΗ, ὥστε ἀλεῖψαι τὸν Κερα-
τῶνα καὶ τὰ ἄλλα · καὶ Λεωφάκοι ἀλείψαντι ΔΓΗΗΙΙΙ ·
ὁρκωμόσιον ὑπὲρ τῶν περιστερῶν ΗΗ · καὶ τἄλλα ΙΙΙ · ἅλες ΙΙΙ. Μεταγειτνιῶνος · χοῖρος τὸ ἱερὸν καθάρασθαι Η · ξύλα καὶ πεύκη ΙΙ ·
ξύλων τάλαντα ἓξ ΗΗΗΗ · Λειωστρατί[δει] κριθῶν μεδίμνων
τριῶν ΓΗ · ἐλαίου χοῦς ἡμίχουν Η · εἰς κόσμησιν τᾶς Ἥρας καὶ ταῖς κοσμούσαις ΓΗΗΗ · Εὐπορίωνι τοὺς βωμοὺς καὶ τὰ ἄλλα ἐν τῶι Θεσμο-
φορίωι ἐξαλείψαντι ΓΗΗΙΙΙϹ · χοῖρος τὸ Θεσμοφόριον καθά-
ρασθαι ΗΗΙΙ · ὑς ἐγκύμων εἰς θυσίαν ταῖι Δήμητρι ΔΓ · καὶ ὥστε ταῖι Κόρηι ἱερεῖον ΔΔΗΗ · καὶ Διὶ Εὐβουλεῖ ἱερεῖον ΔΓΗ · καὶ εἰς τροφὴν
ΓΗΗ · καὶ μαγείρωι Η · καὶ ταῖς ἱερείαις εἰς ἱερεῖα Γ · ξύλα ΗΙΙΙΙ · ῥυμοὶ ΙΙΙ..·
70 σπονδὴ ΙΙΙΙ · μισθωτοῖς ΙΙΙΙ · Νικοστράτωι κλίνας ἐντείναντι καὶ διακεσαμένωι Δ · ξύλων τάλαντα πέντε, τὸ τάλαντον ΙΙΙΙϹ · ἄνθρακες ΗΗ.
Βουφονιῶνος · χοῖρος τὸ ἱερὸν καθάρασθαι ΗΙΙΙΙ · ξύλα καὶ πεύκη ΙΙ ·
Ἀντιγόνωι κριθῶν μεδίμνων τριῶν τοῖς χησὶν ΓΗ · Ἀνδροκράτει λευκ(ω)μάτων δύο ὥστε ταῖς συγγραφαῖς ΗΗΙΙ · Νουμάκωι λευκώσαντι ΗΙΙΙΙ ·
μισθωτοῖς κεραμίδας κατενείγκασι ΗΗΗ · κλεὶς ἐ[πὶ]
τὰ δώδεκα Η · Πατροκλεῖ καὶ Ἐπικράτει τοῦ Ἀμφιστρόφου διακεσαμένοις τᾶς ὀροφᾶς τὰ προσχρήιζοντα καὶ ἀνακεραμώσασιν ΔΗ · ὅτε ὁ χορὸς
ἐγένετο τοῖς Κώιων θεωροῖς λαμπάδες ΗΗ Ϲ · καὶ
ῥυμὸς καὶ κληματίδες ΙΙΙΙϹ · ἄνθρακες ΗΗΙΙΙΙ · ξύλων τάλαντα εἴκοσιν, τὸ τάλαντον ΙΙΙΙϹ · λιβανωτοῦ ἡμίμναιον ΗΙΙΙΙ · ὅτε ὁ χορὸς ἐγέ-
νετο τοῖς Καρυστίων θεωροῖς λαμπάδες Η καὶ ῥυμὸς καὶ
κληματίδες ΙΙΙ · ἐλαίου χοῦς ΗΙΙ · Νικίαι ἐπισκευάσαντι θύραν ἐν τῶι Ἀφροδισίωι καὶ ὅσων προσέδει ΗΗ · σχοινίον εἰς παλαίστραν Η. Ἀπα-
τουριῶνος · χοῖρος τὸ ἱερὸν καθάρασθαι ΗΙΙΙΙΙ · ξύλα κ[αὶ]
75 πεύκη ΙΙ · κήρυκι ΙΙΙΙ · ὀβελίσκοι ὥστε εἰς τὸ ἱερὸν πέντε, μναῖ τέτταρες καὶ ἡμίμναιον, ἡ μνᾶ Η · ἐργάταις τὸν ἠθμὸν ἐκκαθάρασιν τοῦ Ἰνωποῦ
ΗΗΙΙΙ · ἄνθρακες ΗΗ · λαμπάδες ὅτε ὁ χορὸς τοῖς Σιφνίοις θε[ω-]
ροῖς ἐγένετο ΗΗΙϹ · καὶ ῥυμοὶ καὶ κληματίδες ΙΙΙΙ · ἐλαίου χοεῖς δύο ΗΗΗ · στάμνοι ὥστε τῶι Ἀργυρίωι Η. Ἀρησιῶνος · χοῖρος τὸ ἱερὸν καθά-
ρασθαι ΗΗΙΙΙ · ξύλα καὶ πεύκη ΙΙ · ἐργάταις τὸν Ἐσχαρῶνα ἀνακάθαρασι Ι. ·
τὸ θύρετρον διελοῦσι τὸ πρὸς τῶι ἱεροῖ ΙΙΙΙ · τῶγ κεραμίδων ἐνείγκασι τὰ κλάσματα εἰς ἀγορὰν ΗΙΙΙ · κήρυκι Ι · κρανείας ἡμιτάλαντον εἰς τὸ
θύρωμα Η · ἄνθρακες ΗΗΙΙΙ · Σωπάτρωι καθελόντι τὰς φιάλας ὅτ[ε]
τὸ θύρωμα κατεσκεύαζετο καὶ ἐπισκευάσαντι τὰς θύρας οὗ τὰ ἑπτὰ ΗΗ · τοῖς ἄρασιν ἐκ τοῦ ἱπποδρόμου τὴν νεωκόρον τοῦ Καρυστίων οἴκου Γ ·
Ὠμανέαι καὶ τοῖς μεθ' αὑτοῦ τὸ Νυμφαῖον ἐκκαθάρασιν
ΔΓΗΙΙΙ · ἅλοι ἐπὶ τὴν θύραν τοῦ Ἀφροδισίου ΙΙΙΙϹ · καὶ κλειδὸς καὶ σιδηρίου ἐπὶ τὰ ἑπτὰ ΙΙΙΙϹ · ἐλαίου χοῦς ΗΙΙΙ · Ὠφελίωνι τοὺς κρου-
νοὺς διακαθάραντι τοὺς ἐν ταῖι σκηνᾶι Η · τῶι τὸν κύκνον τὸν ἐπὶ τοῦ θησαυροῦ
80 διακαθάραντι Η · ἅλες ΙΙΙ · τοῖς νυκτοφυλαξίοις ξύλων τάλαντον ΙΙΙΙ · ἐργάταις τὰς θύρας ἄρασιν εἰς τὸν οἶκον Η · Νεογένει ἐπιγράψαντι ἐπὶ
τὸ προσκήνιον Γ · καὶ ἀναγράψαντι εἰς στήλην τὸ δόγ[μα]
τὸ Αἰτωλῶν ΗΗΙΙΙ · Νουμάκωι πέτευρα λευκώσαντι ΗΙΙΙΙ · ξύλων τά[λ]αντα πέντε ΗΗΙΙ · δικαστηρίωι μισθὸς τῶν ἐπιτιμημάτων ΔΓΗΙΙΙΙΙ ·
καὶ ἐργάταις ἐδωλιάσασιν Η · σχοινίον εἰς παλαίστραν Η. Ποσιδε[ώνος] ·
χοῖρος τὸ ἱερὸν καθάρασθαι Η · ξύλα καὶ πεύκη ΙΙ · ἄνθρακες ΓΗ · ξύλων τάλαντα πέντε, τὸ τάλαντον ΙΙΙΙϹ · ἐλαίου χοεῖς δύο ΗΙΙΙΙΙ ·
ἐργάταις τὸ ἱερὸν καθάρασθαι ὅτε ἀνήχθη ὁ στόλος ΗΗ · κόφινος ΙΙΙΙ · καὶ
εἰς τὸν θεὸν ΙΙΙΙ · ἐργάταις ξύλα ἀπενέγκασι τὰ περιγενόμενα ἀπὸ τοῦ θυρώματος ΗΙ · Πατροκλεῖ καὶ Ἐπικράτει τὰ ἀναθήματα τὰ καθαιρε-
θέντα ὅτε κατεσκεύαζετο τὸ θύρωμα ἀποκατασή-
σασιν ΓΗΗΙϹ · εἰς ἱερὰ τεῖ Εἰλειθυίαι τὰ γενόμενα ἐν τεῖ παλαίστραι ΔΔΓ · ξύλον εἰς τὸ πρόδομον τοῦ ναοῦ τοῦ Ἀπόλλωνος διέρεισμα ΗΗ ·
χάρτου ΗΙΙΙΙ · σφόγγοι περιυῆσαι τὰ ἀναθήματα ΙΙΙΙ ·

κεραμὶς εἰς τὸ Ἀφροδίσιον ΙΙΙΙ· ἥλους ποήσαντι ὥστε τοῖς ἀναθήμασιν Ϝ. Τοῦ ἐκ τῶν μηνῶν κεφαλὴ 𐅄ΗΗΗΗ𐅄ΔΔΔΔ𐅅 𐅅C. *vac.*

Καὶ τάδε ἄλλα ἀνήλωται· Βρομιάδι αὐλητρίδι

Η𐅄ΔΔΔ· Ἀρκέτωι ἰνωποφύλακι 𐅄ΔΔΔΔ· Τυννάδει εἰς Νῆσον νεωκόρωι ΗΔΔ· Πύθωνι εἰς τὸν θεὸν νεωκόρωι 𐅄Δ· Ξενοκλεῖ εἰς Ἀσκληπιεῖον νεωκόρωι ΗΔΔ· Ἀπολλωνίωι ὑπη-

ρέτηι ΗΔΔ· καὶ ἐπωμὶς Δ𐅅ΙΙΙΙ· καὶ (χ)ιτῶνος Δ· Θεοπρώτωι γραμματεῖ 𐅄ΔΔΔ· Μένητι κήρυκι 𐅄Δ· Ἀντιγόνωι ἀρχιτέκτονι 𐅄ΔΔΔΔ. Ἐπιτιμηταῖς· Μνησικλεῖ Ἱερομβρό-

του ΔΔΔΔ, Ἄμνωι Τλησιμένου ΔΔΔΔ, Εὐκράτει Ἀριστοκράτου ΔΔΔΔ. Λογισταῖς· Ἀρκιλέωι Δεινίωνος 𐅄Δ, Ἀντιπάτρωι Καλλίου 𐅄Δ, Ἀντιχάρει Κτησικλέους 𐅄Δ, Ξενοκρά-

τει Ἱερομβρότου 𐅄Δ, Παντέλει Στρατονίκου 𐅄Δ. Εἰς Ποσίδεια 𐅄Η.

Καὶ τάδε ἔργα ἐξέδομεν. Τὴν λιθείαν τὴν εἰς τὴν στοὰν ἣν ἀνέθ(ε)σαν Νάξιοι πόδας ὀκτακο-

σίους τεσσαράκοντα, τὸμ πόδα δραχμῶν 𐅅ΙΙΙ· ἠργώνησε Σώπατρος, καὶ ἀπαγαγὼν τοὺς λίθους καὶ ἀπομετρήσας τῶι ἀρχιτέκτονι ἔλαβε δραχμὰς ΧΧΧΧ𐅄ΗΔΔ

κελευόντων ἐπιμελητῶν καὶ ἀρχιτέκτονος· καὶ Εὐτύχωι ἐργολαβήσαντι ἀναγαγεῖν τοὺς λίθους εἰς τὸ ἱερὸν τοὺς εἰς τὴν στοάν, τὸμ πόδα Ι, καὶ ἀναγαγόντι

ἔδομεν δραχμὰς ΗΔΔΔΔ. Τῆς λιθείας τῆς εἰς τὸ θέατρον ἐξέδομεν πόδας διακοσίους, τὸμ πόδα δραχμῶν 𐅅ϜϜ· ἠργώνησε Σώπατρος καὶ ἔλαβε δραχμὰς ΧΗΗΗΗ̣ κελευόν-

των ἐπιμελητῶν καὶ ἀρχιτέκτονος, ἀπαγαγὼν τοὺς λίθους καὶ ἀπομετρήσας. Παρμένοντι ἐργολαβήσαντι κατασκευάσαι τὴν ἐξαγωγίδα τοῦ Ἰνωποῦ 𐅅ϜϜϜϜΙΙΙΙ. Στράτωνι περιραντή-

ριον ποήσαντι Δ𐅅Ϝ· καὶ Εὐβίωι τὸν ἰχθὺν χρυσώσαντι ΙΙΙΙ. Καλλιγένει ἐγολαβήσαντι οἰκοδομῆσαι ἐν τῆι οἰκίαι ἣ ἦν Ἀριστοβούλου μισθὸς 𐅅ΙΙΙΙΙ. Τῆς ἐργασίας τοῦ ἐπιθεάτρου ἐξέδομεν πόδας δια-

κοσίους, τὸμ πόδα δραχμῶν ϜϜϜϜΙΙΙΙΙCΤ· ἠργώνησεν Εὐκλείδης, καὶ ἀπομετρήσας πόδας ἑκατὸν ἐνενήκοντα ὀκτὼ παλαστὰς τρεῖς ἔλαβε δραχμὰς 𐅄ΗΗΗΗ𐅄ΔΔΔ𐅅ΙΙΤ / κελευόντων ἐπιμελητῶν

καὶ ἀρχιτέκτονος. Τὸν κοιλόσταθμον τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ποιῆσαι ἠργώνησε Κτησίας δραχμῶν 𐅄ΗΗ𐅄Δ𐅅ϜϜ· τοῦτ᾽ ἔλαβε κελευόντων ἐπιμελητῶν καὶ ἀρχιτέκτονος συντελέσας τὸ ἔργον.

Τὸν οἶκον ἐπισκευάσαι τὸν ἐν Νήσωι καὶ κλίμακα ποιῆσαι καὶ τὰ ἐν τοῖ οἴκωι ὧν προσέδει ἠργολάβησε Πατροκλῆς δραχμῶν ΔΔΔΔ· τοῦτ᾽ ἔλαβε συντελέσας τὰ ἔργα κελεύοντος ἀρχιτέκτονος.

Τὰς θύρας τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ποιῆσαι ἠργώνησε Κτησίας δραχμῶν ΧΔΔΔ𐅅ϜϜϜ, καὶ τοῦτ᾽ ἔλαβε κελευόντων ἐπιμελητῶν καὶ ἀρχιτέκτονος συντελέσας τὸ ἔργον. Πλίν-

θους ποιῆσαι καὶ οἰκοδομῆσαι τὸν περίβολον τοῦ Ἀρχηγέτου (ἠ)ργολάβησε Βλεψίας καὶ Βότρυς, τὰς ἑκατὸν δραχμῶν 𐅅ϜΙΙ, καὶ ἀπαριθμήσαντες πλίνθους ἐν τῶι ἔργωι χιλίας τετρακοσίας πεν-

τήκοντα ἔλαβον δραχμὰς 𐅄ΔΔΔΔ𐅅ΙΙΙ κελεύοντος ἀρχιτέκτονος συντελέσαντες τὰ ἔργα. Ἐπικράτει τὸ θύρετρον καθελόντι καὶ θύρας ἐπιθέντι τὰς πρὸς τεῖ Γραφεῖ δραχμαὶ 𐅄̣· καὶ Βίωνι

τὸν οὐδὸμ ποιήσαντι 𐅅. Ὀβελίσκους ποιῆσαι εἰς τὸν τρύφακτον τὸν ἐν Νήσωι τριάκοντα ἠργώνησεν Ἡρακλείδης, τὴν μνᾶν ϜΙ, καὶ εἴλκυσεν τάλαντα δύο μνᾶν ταρτήμορον, καὶ ἔλαβεν

δραχμὰς ΗΔΔΔΔϜ̣ΙΙCΤ κελεύοντος ἀρχιτέκτονος. Χοινικίδας ποιῆσαι εἰς τὸ στρόφωμα τῶν θυρῶν τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ὀγδοήκοντα ὀκτὼ ἠργολάβησεν Αἴθων τὴν μνᾶν 𐅅ΙΙΙ, ἥλκυσαν σταθμὸν

τάλαντον μνᾶς τριάκοντα ἡμίμναιον, καὶ ἔλαβε δραχμὰς ΗΗΔΔ𐅅ϜΙC κελευόντων ἐπιμελητῶν καὶ ἀρχιτέκτονος. Τὸ ἀνάλημμα τὸ ἐν τῶι Νυμφαίωι οἰκοδομῆσαι ἠργώνησεν Ἰσόδικος

δραχμῶν ΗΗΗΗ𐅄ΔΔΔ𐅅𐅅, καὶ τοῦτο ἔλαβε κελευόντων ἐπιμελητῶν καὶ ἀρχιτέκτονος συντελέσας τὰ ἔργα. Οἰκοδομῆσαι τὸν τοῖχον τὸν ἐν τῶι Ἡρακλείωι ἠργώνησε Λάχης τὴν ὀργυὰν

δραχμῶν 𐅅ϜϜϜϜΙΙΙΙΙ, καὶ ἀπομετρήσας ὀργυὰς δέκα τρεῖς ἔλαβεν δραχμὰς ΗΔΔ𐅅𐅅ΙΙΙΙΙ κελεύοντος ἀρχιτέκτονος. Μέλαθρον καὶ δοκοὺς ἐμβαλεῖν εἰς τὸν οἶκον τὸν ἐν τῶι Ἡρακλείωι καὶ [κ]λίνα[ς]

κατασκευάσαι καὶ τὸ ξύλωμα καὶ τὰ ἄλλα ὧν προσέδει ἠργώνησε Θέτων δραχμῶν ΗΗΔϜϜϜϜ, καὶ τοῦτο ἔλαβε κελεύοντος ἀρχιτέκτονος συντελέσας τὰ ἔργα. Τοῦ περιβόλου τοῦ ἐν τῶι

Ἀσκληπιείωι τὸ πτῶμα οἰκοδομῆσαι ἠργώνησε Παρμένων, τὴν ὀργυὰν δραχμῶν ϜϜϜΙΙΙΙΙCΤ, καὶ ἔλαβεν ἀπομετρήσας ὀργυὰς δέκα τρεῖς 𐅄ϜΙΙCΤ κελεύοντος ἀρχιτέκτονος. Τὰ ἐν το[ῖς]

οἴκοις τοῦ Ἀρχηγέτου ἐπισκευάσαι καθ᾽ ἃ ἐξηγεῖτο ὁ ἀρχιτέκτων ἠργώνησε Νικίας δραχμῶν ΔΔΔΔ, καὶ τοῦτο ἔλαβε κελεύοντος ἀρχιτέκτονος συντελέσας τὰ ἔργα. Ἐξέλαβε δὲ καὶ μέλα-

θρον ἐμβαλεῖν εἰς τὸν οἶκον τὸν ἐν τῶι Ἀρχηγέτει καὶ τῆς ὀροφῆς τὰ πεπονηκότα ἐπισκευάσαι δραχμῶν ΔΔ𐅅ϜϜϜϜ· τοῦτ᾽ ἔλαβε συντελέσας τὰ ἔργα κελεύοντος ἀρχιτέ[κτ]ονος· καὶ Εὐπ[ο-]

ρίωνι τὰ τέγη κατασκευάσαντι ΔϜϜϜΙΙΙ. Τὸμ βωμὸν κατασκευάσαι τοῦ Ποσειδῶνος τὸν ἐν Δελάτρει ἠργώνησε Βίων δραχμῶν ΗΔΔΔ𐅅Ϝ, καὶ τοῦτο ἔλαβε κελεύοντος ἀρχιτέκτονος συντελέσας τὸ

ἔργον. Ἐπισκευάσαι τοῦ Κερατῶνος τὰ προσχρήιζοντα καθ᾽ ἃ ὁ ἀρχιτέκτων ἐξηγεῖτο, ἠργώνησε Πατροκλῆς δραχμῶν Η𐅄ΔΔΔΔ, καὶ τοῦτο ἔλαβε συντελέσας τὰ ἔργα κελεύοντος ἀρχιτέκτονος. Τῶν

ναῶν καὶ τῶν οἴκων καὶ τοῦ γυμνασίου διακέσασθαι τὸν κέραμον τὸν κατειαγότα καὶ τὸν καθηλμηκότα ἆραι ἠργώνησεν Ἀντίγονος, τὸ ζεῦγος C//, καὶ ἔλαβε ΔΔ𐅅ΙΙΙΙ, καὶ ἀνακεραμῶσαι ἐ̣ν̣

τῆι παλαίστραι κεραμίδας τετταράκοντα πέντε, ἔλαβε δραχμὰς 𐅅. Καὶ κεραμίδων ζεύγη ἠγοράσθη παρὰ τοῦ Χίου ἑκατὸν ἐνενήκοντα, τὸ ζεῦγος ΙΙΙΙ, καὶ παρὰ Περιάνδρου ζεύγη ἑξήκοντα πέντε,

τὸ ζεῦγος ΙΙΙΙΙ· τιμὴ τῶν κεραμίδων Η𐅄ΔΔΔΙΙΙΙΙ. Φιάλη εἰς Νῆσον τῆι Ἑκάτηι δραχμῶν ϜϜ. Καὶ πέταλα παρ᾽ Ἐχεστράτου δέκα ἐννέα, τὸ πέταλον ΙΙΙΙ· καὶ παρ᾽ Ἄνδρωνος τέτταρα, ϜϜΙΙΙΙ. Ὠφελίωνι χρυσώ-

σαντι καὶ ἐπικοσμήσαντι τὸ ἄγαλμα Δ𐅅. Κλίνας ποιῆσαι εἰς τὸν οἶκον τὸν ἐπὶ Κυνθίωι δέκα τέτταρας ἠργώνησε Πατροκλῆς ΗΗ𐅄ΔΔ𐅅. Ταῖς θύραις τοῦ ναοῦ τοῦ Ἀπόλλωνος κυλίνδρους πέν[τε]

καὶ ΤΡΙΡΕΣ καὶ ὑποδοχεῖα ἠργώνησεν Ἐχέμαντις, τὴμ μνᾶν 𐅅ΙΙΙΙΙ· σταθ(μὸς) ἐγένετο τάλαντα δύο μναῖ εἴκοσι μία ἡμίμναιον ταρτήμορον· τούτῳ[ν] ἔλαβε ΗΗΗΗϜΙΙΙCΤ. Τὴν ἔπαρσιν τοῦ θυρέτρου τοῦ ἐν τῶι να-

ῶι τοῦ Ἀπόλ(λ)ωνος ἠργώνησεν Μειδίας 𐅄Η𐅅ΙΙΙΙ, καὶ τοῦτο ἔλαβε κελεύοντος ἀρχιτέκτονος καὶ ἐπιμελητῶν συντελέσας τὰ ἔργα. Θεοδήμωι τὸ περίφραγμα ποιήσαντι τοῦ ἡλιοτρο[π]ίου μισθὸς Δ· . . . .

ωνι τρήσαντι τὰς βάσεις μισθὸς 𐅅ΙΙ· καὶ Ἀζαράτωι ἥλων χαλκῶν 𐅅· καὶ Καίβωνι ξύλου δρυΐνου 𐅅ΙΙΙ· καὶ Ἄνδρωνι 𐅅. Ἐλέφαντος εἰς τὸ θ[ύρ]ωμα ἐπριάμεθα μνᾶς δέκα, τὴν μν[ᾶ]ν 𐅅̣[ΙΙΙ, τι]μὴ ΔΔΔ𐅅̣.

Λεωφάκωι τοὺς φαλλοὺς μεταθέντι 𐅅 IIIII. Τὴν στήλην τὴν περὶ τῶν γερῶν ἐργολαβήσαντι Ἀριστέαι γράψαι 𐅅𐅅 IIII · Παρμένοντι ἐργολαβήσαντι οἰκοδομῆσαι τὸ τειχίον [τ]ὸ ἐπὶ τῶι Εἰλειθυαίωι καὶ
τὸ Νεωκόριον ἐξαλείψαντι 𐅄 ⊢⊢. Εὐκλείδει ἐργολαβήσαντι τὸν ὀρθοστάτην καὶ τὸν καταληπτῆρα θεῖναι καὶ ἐργάσασθαι ἐν τῶι ἐπιθεάτρωι
ΔΔΔΔ𐅄⊢⊢. Ὀθόνιον ὥστε τεῖ Ἥραι παρ' Ἀν-
δρίκου ΔΔ𐅄. Εἰς τὸν ἄνδρῶνα τὸν πρὸς τεῖ θαλάσσει παρ' Ἀπολλοδώρου δοκοὶ δύο Δ𐅄⊢ · καὶ Ἐπικράτει ἐμβαλόντι 𐅅𐅅 · καὶ ἐργάταις ἀποσκάψασι καὶ δορώσασι ⊢⊢. Μένητι τῆς στήλης
καὶ βατῆρος τιμὴ ΔΔΔ $\boxed{\text{Δ}}$ 𐅄 · καὶ Βίωνι ἐργασαμένωι τὴν στήλην $\boxed{\text{καὶ τὸ}}$ν βατῆρα ΔΔ𐅅.

Καὶ τόδε ἀργύριον ἐδανείσαμεν· μηνὸς Ληναιῶνος κατὰ ψήφισμα τῆι πόλει καὶ προδανεισταῖς τοῖς βο[υ-]
λευταῖς δραχμὰς XXX ἃς ἀνέθηκεν Ἐχενίκη Στησίλεω εἰς θυσίαν τῶι τε Ἀπόλλωνι καὶ τῆι Ἀφροδίτηι, ἐπὶ ὑποθήκει ταῖς προσόδοις ταῖς δημοσίαις· ἡ συγγραφὴ παρὰ Πάχητι. Καὶ εἰς τὴν σι[τω-]
νίαν ἐδανείσαμεν τοῦ ἱεροῦ ἀργυρίου κατὰ ψήφισμα τῆι πόλει καὶ προδανεισταῖς Ξενοκράτει Ἱερομβότου, Πολυξένωι Ἀρησιμβρότου, Σωσιδήμωι Νίκωνος δραχμὰς M 𐅄 ἐπὶ ὑποθήκει τα[ῖς]
προσόδοις ταῖς δημοσίαις. Καὶ ἄλλας ἐδανείσαμεν τῆι πόλει καὶ προδανεισταῖς τοῖς βουλευταῖς κατὰ ψήφισμα εἰς τὸ ἀποδοθὲν Κύνωνι δραχμὰς X 𐅄 H H.

Καὶ τόδε ἄλλο ἀργύριον ἐδα[νεί-]
σαμεν τοῦ ἱεροῦ· Αὐτοκλεῖ Τελέσωνος μηνὸς Ἀρησιῶνος δραχμὰς H H H H ἐπὶ ὑποθήκει τεῖ οἰκίαι τῆι ἐν Θώκωι ἣ ἦν Ἱερομβρότου ἦι γειτονεύει ἡ οἰκία ἡ Σατυρίωνος καὶ ἐπὶ τοῖς ἄλ[λοις]
τοῖς ὑπάρχουσιν Αὐτοκλεῖ πᾶσιν καὶ ἀναδ[όχοι]ς Ἀντιγόνωι Δημείου, Τηλεμνήστωι Ἀντιγόνου· ἡ συγγραφὴ παρὰ Διονυσίωι τῶι Ἀγοράλλου. Καὶ ἄλλας Αὐτοκλεῖ Τελ[έ-]
σωνος μηνὸς Ἀρησιῶνος δραχμὰς H H ἐ[π]ὶ ὑ[ποθ]ήκει τῆι οἰκίαι ἣν ἐπρίατο Νικάνωρ παρὰ Θεοδωρίδου ἦι γειτονεύει ἡ οἰκία ἡ Ξενοκλείδου καὶ ἡ
$\boxed{\text{////////////////}}$ Ἄμνου, ἐπιχωρήσα[ν-]
τος Ξένωνος τοῦ Νικάνορος, καὶ ἀναδόχοις Ἀν[τ]ιγόνωι Δημέου, Τηλεμνήστωι Ἀντιγόνου· ἡ συγγραφὴ παρὰ Διονυσίωι τῶι Ἀγοράλλου. Καὶ Διακτορίδει Θεωρύλου μηνὸς Ἀπατου[ρι-]
ῶνος δραχμὰς H H H H ἐπὶ ὑποθήκει τῶι χωρίωι ὧι γειτονεύει τὸ χωρίον ὃ ἦν Φερεκλείδου καὶ ὃ καλεῖται Φυταλιὰ καὶ τοῖς ἄλλοις τοῖς ὑπάρχουσιν Διακτορίδει πᾶσιν καὶ ἀναδό-
χοις Καλλισθένει Θεωρύλου, Ἀντιγόνωι Διδύμου· ἡ συγγραφὴ παρ' Ἐπιχάρμωι Θεοπρώτου.

Τῶν εἷς ἆθλα· ἔλαιον εἷς παλαίστραν μετρηταὶ τέτταρες καὶ ἡμιαμφόριον· ὁ μετρητὴς
Δ𐅄𐅅 · τιμὴ 𐅄ΔΔΔ⊢ · καὶ ἆθλα λαμπαδάρχοις παίδων· Λευκίνωι Σωσιστράτου 𐅄, Τελεσάνδρωι Τελεσάνδρου 𐅄 · νεανίσκων· Ἀναξιθέμιδι Πάχητος 𐅄, Πραξιμένει Καλλιδίκου Δ𐅄 ·
ταινίαι 𐅄𐅅IIIII · σκάψαντι ἐν τῶι σταδίωι ⊢ · βάθρα ἐνείγκασι II · ἔλαιον ⊢II · σπογγιαὶ ⊢. Τὸ δὲ λοιπὸν ἔδομεν δραχμὰς ΔΔΔΔ𐅅III
μετὰ τοῦ ἄρχοντος ἆθλα τοῖς ἀγωνισαμένοις.

a. 249. Καὶ τόδε παρέδομεν ἀργύριον ἱεροποιοῖς τοῖς ἐπ' ἄρχοντος Ἀρ[χί]α Κριτοβούλοι καὶ Μενύλλοι ἐν ἱερῶι μηνὸς Ληναιῶνος δραχμὰς
M 𐅄ΔΔΔΔ𐅄 · καὶ ἄλλας M 𐅄XXXHHH 𐅄 𐅄IIIICT · καὶ ἄλ[λα]ς
διὰ τραπέζης XX · ἄλλας διεγράψαμεν XX. Κεφαλὴ οὗ παρέδομεν MMMXX𐅄HHHHIIIICT. *vac.*

Ἀνεμισθώσαμεν δὲ καὶ τὸ χωρίον ὃ καλεῖται Ῥάμνοι, οὗ καθιστάντος Ξενομήδους τοὺς ἐγγύους κατὰ τὴν ἱερὰν συγγραφὴν ὅτε ἦσαν αἱ διεγγυήσεις, καὶ ἐμισθώσατο
Αὐτοκλῆς Τελέσωνος δραχμῶν 𐅄𐅄ΔΔΔ. Ἀνεμισθώσαμεν δὲ καὶ τὸ χωρίον ὃ καλεῖται Σκιτώνεια, οὗ καθιστάντος Πολυβούλου τοὺς ἐγγύους, καὶ ἐμισθώσατο Καλλισ[έ-]
νης Διακρίτου δραχμῶν HHHH𐅄ΔΔΔ𐅅. Ἀνεμισθώσαμεν δὲ καὶ Χαρωνείας τὸ ἥμυσυ, ὃ μέρος ἐγειώργει ποτὲ Ἀριστόδικος, οὗ καθιστάντος Τιμησιδήμου τοὺς ἐγγύους, καὶ ἐμισ-
θώσατο Βούλων Τύννωνος δραχμῶν HHHHΔΔΔ𐅄⊢⊢. Ἀνεμισθώσαμεν δὲ καὶ τῆς Χαρητείας τὸ μέρος ὃ ἐμεμίσθωτο Μνησίμαχος, οὗ καθιστάντος τοὺς ἐγγύους Μνησιμάχου, κα[ὶ]
ἐμισθώσατο Ξενοκράτης Ἱερομβρότου δραχμῶν HH𐅄ΔΔΔ⊢ · τὸ δὲ λοιπὸν ὅσωι ἔλαττον ηὗρεν ἢ γῆ ἀναμισθωθεῖσα ὀφείλει Μνησίμαχος Αὐτοκράτους καὶ οἱ ἔγγυοι Ἱεροκλῆς
καὶ Φρασίλας Ἀμμωνίου καὶ Φᾶνος Διοδότου δραχμὰς HHHHΔ𐅄𐅅III · ἔγγυος πρὸς τὸ ἥμυσυ Φᾶνος, πρὸς δὲ τὸ ἥμυσυ Ἱεροκλῆς καὶ Φρασίλας· $\boxed{\text{ὀφείλουσι δὲ καὶ τούτου τὸ ἡμιόλι-}}$

$\boxed{\text{ον κατὰ τὴν συγγραφὴν δραχμὰς H H 𐅄𐅅IIIIC. //}}$

Ἐμισθώσα-
μεν δὲ καὶ τὰ τεμένη τὰ τοῦ θεοῦ εἰς ἔτη δέκα κατὰ τὴν ἱερὰν συγγραφὴν καὶ ἐμισθώσαντο οἵδε· τὸν Ἱππόδρομον Ἀντίγονος Τηλεμνήστου δραχμῶν 𐅄HΔ⊢·
ἔγγυοι Τηλέμνηστος Φιλίου, Ἀριστόβουλος Ἀρκέοντος· καὶ παρέλαβεν κλείσιον τεθυρωμένον, θάλαμον ἄθυρον, βούστασιν ἄθυρον, προβατῶνα ἄθυρον, ἱπνῶνα ἀθυ-
ρον, θύραν αὐλείαν. Τὸ Κεραμεῖον Λυσῆς Σίμιος HH𐅄 · οὗ καθιστάντος δὲ τοὺς ἐγγύους, ἀνεμισθώσαμεν καὶ ἐμισθώσατο Εὔδικος Φιλιστίδου δραχμῶν HH𐅄 · ἔγγυοι Ἀναξίθεμις,
Κραταίβιος Ἐρητυμένου· καὶ παρέλαβεν θύραν αὐλείαν, κλείσιον τεθυρωμένον καὶ θάλαμον ἔχον τεθυρωμένον, κλίμακα φοινικίνην, ὑπερώιδιον τεθυρωμένον, μυλῶνα τεθυ[ρω-]
μένον, ἀνδρώνιον τεθυρωμένον — ἐπὶ τοῦ κήπου θύρα —, ἱπνῶνα ἄθυρον ἐγ κήπωι, ἀνδρώνιον ἄθυρον, συκᾶς τέτταρας, ῥοάν. Τὴν Λίμνην Γλαῦκος Γλαύκου δραχμῶν ΔΔ⊢ · ἔγγυο[ς]
Ξένων Νικάνορος. Λειμῶνα Διονυσόδωρος δραχμῶν HHΔΔ⊢ · ἔγ(γ)υοι Θειαῖος καὶ Συνώνυμος οἱ Θεαίου· καὶ παρέλαβεν κλείσιον τεθυρωμένον, βούστασιν τεθυρωμένη[ν],
ἀχυρῶνα ἄθυρον, προβατῶνα ἄθυρον, ἄλλο οἴκημα τεθυρωμένον, θύραν αὐλείαν. Κορακιὰς καὶ Σολόη Φίλαρχος Θεωρύλου δραχμῶν HHHHΔΔ· ἔγ(γ)υοι Πυθαγόρας Ἄβρωνος, Χέρ-
σις Ἐλπίνου· καὶ παρέλαβεν θύραν αὐλείαν, κλείσιον τεθυρωμένον, θαλάμους δύο ἀθύρους, βούστασιν ἄθυρον, προβατῶνα ἄθυρον, ὑπερώιδιον ἄθυρον, θάλαμον τεθυ-
ρωμένον. Φοίνικας Ἀντίγονος Διδύμου δραχμῶν 𐅄H𐅄⊢ · ἔγ(γ)υοι Σωσίδημος Νίκωνος, Ἄναξος Τελέσωνος· καὶ παρέλαβεν θύρας αὐλείας δύο, κλείσιον τεθυρωμένον, θάλα-

μον ἄθυρον, βούστασιν ἄθυρον, προβατῶνα διπλοῦν ἄθυρον, ἀχυρῶνα ἄθυρον, ὑπερῷον τεθυρωμένον θάλαμον ἔχον ἄθυρον, ἱπνῶνα ἄθυρον, ἀμπέλους Γ Γ Δ Δ Δ Δ Γ Ι, συ-
κᾶς Δ Δ Δ Δ, ἐρινοῦς Γ. Ῥάμνους ἐμισθώσατο Κυνθιάδης δραχμῶν Γ Γ ΗΗ, οὗ καθιστάντος δὲ τοὺς ἐγγύους, ἀνεμισθώσαμεν καὶ ἐμισθώσατο Παρμίσκος Διοδότου δρα-
χμῶν Γ Γ ΗΗ · ἔγ(γ)υοι Ἀντίρρητος Ἀντιγόνου, Θυμίας Ἐχεκρατίδου· καὶ παρέλαβεν θύραν αὐλείαν, προβατῶνα ἄθυρον, πυργίον τεθυρωμένον, ἀνδρώνιον τεθυρω-
μένον, κλεῖσιον τεθυρωμένον, βούστασιν ἄθυρον, θαλάμους ἀθύρους, ἀμπέλους Χ Γ Η Η Η Η Γ Δ Δ Γ Ι Ι Ι, συκᾶς Γ Δ Δ Δ Δ Ι, ῥοήν. Νικοῦ χῶρον Πυθοκλῆς Φερεκλείδου δρα-
χμῶν Η Η Γ Δ · ἔγγυοι Τηλέμνηστος Ἀντιγόνου, Ῥάδις Σκύδρου· καὶ παρέλαβεν θύραν αὐλείαν, κλεῖσιον τεθυρωμένον, θάλαμον ἄθυρον, μυλῶνα ἄθυ-
ρον, βούστασιν ἄθυρον, ἀνδρώνιον ἄθυρον, ὑπερῷιδιον, προβατῶνα ἄθυρον, ἱπνῶνα ἄθυρον, ἀμπέλους Γ Η Η, συκᾶς Δ Γ. Λίμνας Αὐτοκλῆς Τελέσωνος δραχμῶν
Η Η Η Δ Δ Δ Δ ΗΗ · ἔγγυοι Ἀντιγόνος Δημέου, Τηλέμνηστος Ἀντιγόνου· καὶ παρέλαβεν θύρας αὐλείας δύο, κλεῖσιον τεθυρωμένον, θάλαμον τεθυρωμένον, ἄλ(λ)ον ἄθυρον,
ἀχυρῶνα ἄθυρον, μυλῶνα ἄθυρον, βούστασιν τεθυρωμένην, ὑπερῷιδιον τεθυρωμένον, ἀνδρώνιον ἄθυρον, ἀμπέλους Χ Γ Δ Ι Ι Ι Ι, συκᾶς Δ Δ Δ Ι Ι, ἐρινοῦς Ι Ι Ι. Διονύσιον Ἡρακλείδ[ης]
Ῥηναιεὺς δραχμῶν Γ Η Η Η ΗΗ · ἔγγυοι Πόλυβος Διοδότου, Σώσιλος Νησιώτου · καὶ παρέλαβεν θύραν αὐλείαν, κλεῖσιον τεθυρωμένον, θάλαμον τεθυρωμένον, ἀχυρῶνα ἄθυρον,
μυλῶνα τεθυρωμένον, ἱπνῶνα ἄθυρον, ὑπερῷιδιον τεθυρωμένον, ἀνδρώνιον ἄθυρον, προβατῶνα ἄθυρον, ἀνδρώνιον ἄθυρον, ἀμπέλους Χ Γ Γ Ι, συκᾶς Δ Δ Δ Γ Ι. Σκιτών[ει-]
αν Ἀρχεδάμας Κτησικλείους δραχμῶν Η Η Η Η Γ Δ Δ ΗΗ · ἔγγυοι Ἀχαιὸς Ἀριστείδου, Ἀριστόβουλος Μενεκράτου· καὶ παρέλαβεν κλεῖσιον τεθυ-
ρωμένον, θαλάμους δ[ύο]
ἀθύρους, τὸν τοῖχον τὸν πρόσθορρον πεπτωκότα, βούστασιν ἄθυρον, ὑπερῷον τεθυρωμένον, ἄλλα οἰκήματα τρία ἄθυρα, θύραν αὐλείαν, ἀμπέ-
λους Γ Η Δ Δ Γ Ι Ι Ι Ι ////, συκᾶ[ν]·
Χαρώνειαν Εὐκτήμων καὶ Δεξικράτης Ἀχαιοῦ δραχμῶν Χ Η · ἔγγυοι Παντέλης Οἰκώνος, Χάρμος Κτησιβούλου· καὶ παρέλαβον κλεῖσιον τε-
θυρωμένον, θαλάμους δύο τὸν ἕν[α]
τεθυρωμένον, βούστασιν ἄθυρον, προβατῶνα ἄθυρον, οἴκημα ὀροφὴν οὐκ ἔχον, πύργον τεθυρωμένον, θύραν αὐλείαν, ἄλλην οἰκίαν ἔχουσαν θύραν αὐλείαν, κλεῖσιον τεθυρωμέν[ον],
θάλαμον τεθυρωμένον, ἄλλον θάλαμον, ἀνδρώνιον τεθυρωμένον, ἱπνῶνα⟨ν⟩ ἐστυλωμένο(ν) τὴν δοκόν, βούστασιν ἄθυρον, ἀχυρῶνα ἄθυρον, προβατῶνα ἄθυρον, συκᾶς
Δ Δ Δ Δ Γ Ι Ι, ἀμπέλους Χ Χ Η Γ Δ Δ Δ Γ Ι Ι. Πάνορμον Στήσαρχος δραχμ⟨ν⟩ῶν Γ Η Γ Ͱ · ἔγγυοι Φίλλις Διαίτου, Πολύξενος Ἀρησιμβρότου· καὶ παρέλαβεν θύραν αὐλείαν, κλεῖσιον τεθυρωμέ-
νον, θάλαμον τεθυρωμένον, ἀχυρῶνα ἄθυρον, βούστασιν ἄθυρον, ἱπνῶνα ἄθυρον, πιθῶνα τεθυρωμένον, ὑπερῷιδιον, προβατῶνα ἄθυρον, ἀνδρώ-
νιον τεθυρωμένον,
ἀμπέλους Χ Η Η Γ Δ Δ Δ Δ Γ Ι Ι Ι, συκᾶς Δ Δ Γ Ι Ι Ι Ι, ἐρινόν. Χαρήτειαν Φιλόνικος Φερεκλείδου δραχμῶν Χ Η Δ ΗΗ · ἔγγυοι Πραξιμένης Καλλι-
δίκου Ξένων Πιστοῦ· καὶ παρέλαβε[ν]
θύραν αὐλείαν, κλεῖσιον τεθυρωμένον, θαλάμους δύο τεθυρωμένους, ἓν τῶι ἑνὶ δοκὸν ἐστυλωμένην, βούστασιν ἐστυλωμένην ἄθυρον, σιτοβο-
λῶνα ἄθυρον, ἀχυρῶνα [ἄ-]
θυρον, ὑπερῷδια δύο τεθυρωμένα, ἀνδρώνιον θάλαμον ἔχον ἄθυρον, ἀνδρώνιον ἄθυρον, ἱπνῶνα ἄθυρον, μυλῶνα ἄθυρον, προβατῶνα ἐστυλω-
μένον ἄθυρ[ο]ν?, ἀμπέλους Γ[Γ Δ?],
συκᾶς Γ Δ Δ Ι Ι. Πύργ[ου]ς Ε[ὐ]θέας? Ι . . . . . ου δραχμῶν Χ · ἔγγυοι Ἀντικράτης Ἀριστοδίκου, Χαρίλας Ἀντιγόνου· καὶ παρέλαβεν θύραν αὐ-
λείαν, κλεῖσιον τεθυρωμένον, θαλά-
μους δύο τεθυρωμένους, ἀχυρῶνα ἄθυρον, βούστασιν ἄθυρον, ἀνδρώνια δύο τεθυρωμένα, ὑπερῷιδιον τεθυρωμένον, ἱπνῶνα ἄθυρον, προβατῶνα
ἄθυρον, ἀμπέλους Χ Χ Η Η Γ,
συκᾶς Γ Δ Δ Ι Ι Ι, ἐρινοῦς δύο.

Καὶ οἵδε τῶν μεμισ[θω]μένων ἐπέβαλον τὰ ἐπιδέκατα κατὰ τὴν συγγραφήν· Πορθμῶι Πυθοκλῆς Φερεκλείδου ἐπὶ Γ Η Η Η Η Δ Δ Δ Ͱ ἐπέβαλεν
Γ Δ Δ Δ Δ Ͱ[Ͱ Ͱ C /] καὶ μεμίσθωται σὺν τῶι ἐπιδεκάτωι Χ Δ Δ ΗΗ C / · ἔγγυοι Κριτόβουλος Ἀμπυκίδου, Φίλαρχος Φιλίου. Τῶι ἐν Ἄκραι Δή-
λωι Ἔμπεδος Ξένωνος ἐπὶ Η Η Η Η ἐπέβαλεν Δ Δ Δ Δ, κα[ὶ]
μεμίσθωται σὺν τῶι ἐπιδεκάτωι Η Η Η Η Δ Δ Δ Δ · ἔγγυοι Τελέσων Ξένωνος, Ἐπίχαρμος Βουλικράτου. Τοῖς Σωσιμαχείοις Ἀπολλώνιος ἐπὶ
Η Η Γ ἐπέβαλεν Δ Δ Γ καὶ μεμίσθωται σὺν
τῶι ἐπιδεκάτωι Η Η Γ Δ Δ Γ · ἔγγυοι Μένυλλος Μενύλλου, Ἰσόδικος Σωσίλου. Φυταλιᾶι Εὔβιος Θεοδότου ἐπὶ Δ Δ Δ Δ ΗΗ ἐπέβαλεν ΗΗ Ι Ι C //
καὶ μεμίσθωται Δ Δ Δ Δ Γ ΗΗ Ι Ι C // · ἔγγυοι Ἄνεκτος Εὐ-
δίκου, Χαρικλείδης Ἀριστοκρίτου. Ἐπισθενείαι Περίανδρος Ἡγησαγόρου ἐπὶ Γ Η Γ Δ ἐπέβαλεν Γ Δ Γ Ͱ καὶ μεμίσθωται σὺν τῶι ἐπιδεκάτωι
Γ Η Η Δ Δ Γ Ͱ · ἔγγυοι Κράτων Μνη-
σιάδου, Βούλων Τύννωνος. Τῶι Λυκωνείωι Ἀκριδίων Διονυσοδώρου ἐπὶ Η Δ Ͱ ἐπέβαλεν Δ Ͱ C / καὶ μεμίσθωται σὺν τῶι ἐπιδεκάτωι Η Δ Δ
Η C / · ἔγγυοι ⟨Η⟩ Ἡρακλείδης Ἐπαρχίδο[υ],
Ἀριστόβουλος Ἀριστείδου.

Καὶ οἵδε τόκους ἀπέδοσαν τοῦ ἱεροῦ ἀργυρίου· Καλλίας Ἀντιπάτρου ὑπὲρ Μνησιμάχου τῆς ἐγγύης τὸ ἐπιβάλλον αὐτῶι δραχμὰς Δ Δ Δ Δ · Ἀνδρομένης
//// Χαρικλείδης Ἀριστοκρίτου Δ · Ἀστίας ὑπὲρ τοῦ πατρὸς Ἐρασίνου Γ Δ Δ · Μένυλλος ὑπὲρ τῶν χωρίων ἃ ἦν Ὑγοκλέους Η · Λυσῆς ὑπὲρ Δεξικράτους Δ · Ἀριστοδίκο⟨ο⟩υ κληρο-
νόμοι Γ Ͱ C καὶ ὑπὲρ τοῦ οἰκήματος ὃ ἦν Ἀριγνώτου Δ Ι Ι C · Ἀμφικρίτη καὶ ὁ κύριος Δημόνους ὑπὲρ τῶν χωρίων ἃ ἦν Φερε////κλείδου Γ Γ ΗΗ
Ι Ι Ι Ι Ι Τ · καὶ Μαντίθεος Ἀφθονήτου ὑπὲρ τῆς
συνοικίας Γ Γ ΗΗ Ι Ι Ι Ι Ι Τ ὃν ἔφερε Φερεκλείδης ὑπέρ τε αὐτοῦ καὶ Χάρητος καὶ Προξένου· Ἡρακλείδης Γνωσιδίκου Δ Δ · Μνησίας ὑπὲρ τῶν
χωρίων ἃ ἦν Παρμενίωνος Η · Γοργίας Σωσίλου
ὑπὲρ τῶν ⟨χων⟩χωρίων ἃ ἦν Εὐρυμάνθους Γ Δ · Πόλυβος Διοδότου ΗΗ Τ καὶ ὑπὲρ τῶν παιδίων τῶν Τελεσάνδρου Γ Ͱ C /· Ἀνακρέων Δ Δ Δ ·
παρὰ τῶν κληρονό[μων] ὑπὲρ Ἀπημάντου
τοῦ Φίλωνος Γ Δ · Ξενοκράτης Ἱερομβρότου Γ, ὑπὲρ Σωσισθένου Δ Δ Ι Ι Ι Ι, ὑπὲρ Χαρίλου Δ Δ Ι Ι Ι Ι · Δημόλυτος Νικομάχου Γ ΗΗ Ι Ι · Κρά-
των Μνησιάδου Δ · Χοιρύλος Τελέσωνος Δ Δ Δ Δ ·

Τηλέμνηστος Ἀντιγόνου Δ ΔΔΔ· Μαντίθεος Ἀφθονήτου ὃν ἔφερε Δημάρης ΓΗIIII, καὶ ὑπὲρ Γοργοῦς Δ· Φιλτᾶς Τληπολέμου ΗΗ· οἱ κληρονόμοι Φίλλιος ΔΔΔΓΗIIIIT· Φωκαιεὺς
Ἀπολλοδώρου ὑπὲρ τοῦ οἰκήματος ΔΔΔΗII· Τηλέμνηστος Ἀριστειδου Δ Γ· Γλαυκύδ[ης] Ξένωνος ΔΔΔΔ· Πιστᾶς Ξένωνος ΗΔΔ· Ἄλλας ΔΔ· Τέλεσις ὑπὲρ Αὐτοκλέους Δ·
Διακτορίδης Θε(ωρύλου) ΔΗII· Μαιχίδαι ΔΔΔΔΗIIIII· Δίδυμος Ἀντιγόνου Γ· Θέμων Λυσαγό[ρου] ΔΔΓI· Φωκαιεὺς Ἡγίου ΓΔ. *vac.*

Καὶ οἵδε τόκους ὀφείλουσι καὶ οἱ ἔγγυοι· Πολύξενος Φωκαέως ΓΔΓΗIIIII· Ἑρμοδότου κληρονό. ΔΓΗ· Ναυτέλης Ἀμφιτίμου ΓΗ· Διαίτου κληρονόμοι ΔΗΗIIII· Λυσάνδρου τοῦ Δεξιπόλι-
